ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑ-
μασκηνοῦ, λόγοι τρεῖς ἀπολογητικοὶ πρὸς τοὺς
διαβάλλοντας τὰς ἁγίας εἰκόνας.

ΤΟΥ ΟΣΙΟΥ πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ
Θεοδώρου ἡγουμένου τῶν στουδίου δογματικὴ περὶ
τιμῆς καὶ προσκυνήσεως τῶν ἁγίων εἰκόνων.

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ πατρὸς ἡμῶν Ἰωάν-
νου τοῦ Δαμασκηνοῦ, συγγραφεὶς παρὰ Ἰωάν-
νου πατριάρχου ἱεροσολύμων.



ROMAE, Apud Stephanum nicolinum Sabiensem
Chalcographum Apostolicum, Cũ Priuilegio &c.
MDLIII Mense Martio.

Διονυσίου τοῦ ἀρεοπαγίτου.

Τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι, καὶ τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι, καὶ ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσιακῆς διαφορᾶς.



ILLVSTRISSIMO ET REVE-
rendissimo Ioanni Petro Carafæ Episcopo
Tusculano. S. R. E. Cardinali

Nicolaus maioranus. S.

MAxime esset optandum PATER Amplissime ac sapientissime, ut quẽadmodum initio a' sanctissimis uiris, diuini Spiritus afflatu, religiõis nostrę pręcepta tradita, & christianę pietatis ratio instituta est, sic consequentibus deinde temporibus, pie teneri fideliterq; seruari potuisset, maximam enim uolu ptatem. fructum etiam incredibilem boni & pii homines caperent ex rectissima illa uerissimaq; disciplina, quam perturbatam toties ac deprauatam, non fine summo dolore intelligũt. Sed quando ille humani generis hostis acerrimus, felicitatis ac beatitudinis nostrę flagrãs inuidia, ex quo Deus Opt Max. tanquam bonus agricola sementem facere cœpit, unde salutis animorum & sempiternę uitæ fructus perciperentur, nunq̃ intermisit

mortifera quædam & perniciosa semina di-spergere, maximas profecto nos, ipsi summo Deo gratias agere & habere debemus, qui fibras ac stirpes malorum, nefarii illius insidiatoris artificiis, in multorum mentibus insitas, semper euellendas & extirpandas curarit. & quidem hoc, ad illius summum in nos amorem declarandum, & quantam nostri curam habeat (ut reliqua nunc certissima eius rei argumenta sileam) ostendendum, plurimum ualere nemo est qui nesciat. quibus enim artibus uersutus & callidus aduersarius, hominum animos non tentauit? quas generi nostro non fecit insidias? quos satellites & ministros cupiditatum suarum, in nos non immisit? Cuius quidem petitiones ictusque omnes, Deus ac dominus noster, retudit ac reiecit, conatus atque impetus, fregit ac debilitauit. Atque ut inde ordiamur, unde salutis christianæ causa orta est, recens adhuc Christi nomen erat in terris, & uix dum eius uti disciplina instituerant homines, cum idem ille ueritatis ac nominis nostri inimicus, quæ uere sanctеque tradebantur, corrumpere ac deprauare agressus est. quod ut facilius fieret, in non nullorum animos cœpit influere. quibus o-

mnino peruersis, & in suam sententiam per- ductis, eorundem postea operam, ad alios labefactandos adhibuit. Primos enim omni um, quasi emissarios & excursores, ad eam rem instruxit, Cerinthum, Ebionem, Ni- colaum, & eiusmodi monstra hominum per multa, quibus immortalis Deus, optimos il los ac sapientissimos christianæ ueritatis du- ces opposuit, Polycarpum uidelicet, Igna- tium, Dionysium areopagitã, a quibus nimi rũ fracti illi afflictiq;, conciderunt. qua in re, licet iure uicta & superata sit audacia & im- pudentia diaboli, nunquam tamen is postea conquieuit. neq; enim ei defuere Menan- dri, Basilidæ, Isidori, Carpocrates, Epi- phanes, Valentini, Marciones, innumera- bilesq; alii. qui profecto omnes, ab optimis consiliis ad nefarias cogitationes traducti, non modo ipsi dolis & fraudibus teterrimi dæmonis falsi deceptiq; sunt, sed operam dederunt, ut cæteros in eosdem errores indu cerent. Cum igitur perditissimi homines, impudentissimis mendaciis ueritatem euan- gelicam contaminare, & segetem christianę salutis uenenis inficere niterentur, excitauit Deus Iustinum, Theophilum antioche- num, Irineum, Hippolytum, Clementem

alexandrinum, qui diuinis armis instructi, impiam illorum aciem fundere & fugare facile potuerunt. Quid dicam de Ario, Eunomio, Macedonio, Apollinari, Nestorio, eiusmodiq; aliis christianæ reip. portentis? qui, eiusdē pene funera extitissent, nisi Christus Opt: Max: eorum perditis conatibus occurrisset? nam incitauit in hanc turbam, robur illud nostri exercitus, Athanasium, Basilium Gregorium nazanzenum, Gregorium nysenum, Epiphanium, Cyrillum, Proclum, ex latinis uero hominibus, Hilarium, Ambrosium, Hieronymum, Augustinum, Gregorium, illos inquam ipsos, in quibus, secundum Deum, potissimum nititur christiana religio. atq; horum uirtute, diuini uero ope numinis, & omnia hereticorum argumenta confutata, & ita euangelica doctrina munita est, ut nullis amplius aduersariorū machinis oppugnari, nedum labefactari posse uideatur. quę cum insidiator ille diabolus, usqueadeo fixa esse animaduerteret, ut conuelli nullo modo possent, cumq; ea ratione & illis hominibus non successisset, & alia uia & aliorum opera agredi uoluit. persuasit enim quibusdam, effigies & simulacra sanctorum uirorum, quos sua in cœlum merita

uocauerunt, non modo ad christianam pie- tatem non pertinere, sed magno etiam se il- los scelere astringere, qui eiusmodi imagini- bus, uel honorem aliquem haberent, uel in sacris ędibus eas depingi paterētur. qui dein- de eo processerunt amentiæ, ut ossa, cine- res, reliquiasque sacratissimorum corporū, nō modo iustam uenerationem non habere di- ctitarent, sed nefas esse contenderent, illa in templis asseruari. quid multa? illud etiam di cere sunt ausi, omnem eorum memoriam, e sanctissimis sedibus eiici & exterminari debe re. quod malum, in dies ita late dissemina- tum est, ut per prouincias obscure serpendo & prodeundo, omnes fere orbis terrę partes occuparit. quinetiam illi causæ, fauebant imperatores, principes ciuitatum impiæ opi nionis authores complectebantur. Oppor- tune igitur Deus, quosdam uitę sanctitate, do ctrinaque præstantes homines, in eam men- tem impulit, ut funestam hanc pestem ab ec clesia depellerent. susceptum enim est patro cinium cōtemptarum imaginum, a Germa- no patriarcha constantinopolitano, Theo- doro cognomento studita, Theophane epi- scopo niceno, & eius fratre Theodoro. quo rum longe princeps fuit, idemque pro imagini

bus omnium acerrime propugnauit, Ioannes damascenus, quem anno post Christum natum, septingētesimo trigesimo tertio, Leonis isauri tempore, floruisse accepimus. is enim, partim uoce, quasi cominus gladiis, partim scriptis, quasi eminus hastis, primos hęreticorū incursus, ĩpetusq; refutauit. Atq; ut aliquā do furor ille comprimeretur, & omnis controuersia tolleretur, nicęæ concilium est habitum. quo cum CCCL patres, Spiritus sancti auspiciis ductuq; conuenissent, iidem illi, Adriani Pont. Max: eius, qui primus huius nominis fuit, authoritatem secuti, cum hæreticorum errorem coargutum & condemnatum sustulerunt, tum pium & salutarem imaginum cultum ecclesiæ restituerunt. quo sane tempore, maxime consistere, & ex malis requiescere uisa est nostra religio. fruebatur enim iam pace & tranquillitate, quam perpetuo facile retinuisset, nisi nunc demū post octingentos ferme annos, bellum, quod sublatum & plane extinctum uidebatur, à nouis quibusdam diaboli ministris, cōtra easdem illas imagines, & reliquias sanctorum uirorum, renouatum esset. quas non modo illi improbarunt sermonibus & concionibus, sed libris etiam conscriptis atq; editis, acer-

bissime & impudentissime uituperarunt. quare, quibus olim remediis nascenti morbo occursum est, eisdem nunc renascenti subuenire oportet. Percommode igitur accidit, & diuino plane consilio factum est, ut a Gulielmo sirleto, imprimis docto & sancto uiro, amplitudinis uero tuae obseruantissimo, illius ipsius Ioannis damasceni, de quo paulo ante dixi, Liber de Imaginibus ex tenebris erueretur. itaq; cum is eum librum, quae eius est benignitas & in me beneuolentia, mecum communicasset, uel, ut uere dicam, mihi dedisset, hortatus est etiam me, homo christianae ueritatis studiosissimus, ut, cum ipse in iis rebus occupatus esset, quae meo iudicio, doctis & bonis omnibus breui maxime probabũtur, non ita multo labore lectionis, emendationis, sumptu etiam impressionis suscepto, tam necessario christianae reip. tempore, edendum curarem. Legi equidem librum diligenter, totumq; id in eo comperi, quod eruditissimus Sirletus mihi antea dixerat, nihil enim excogitari, atq; adeo dici posse contra imaginum uituperatores arbitror, quod non ibi dicatur, nullum argumentum inueniri, nullam rationem afferri, nullum deniq; locum ex sacris litteris ad defenden-

dum & comprobandum earum cultum pro=
ferri, qui in hoc Damasceni admirabili uolu
mine desideretur. quid quæris? cœpi consi
lium de emittēdo in manus hominum libro,
cuius quantum sit pondus, quanta sit au=
thoritas, ex eo intelligimus, quod syno=
dus altera Nicena, magnam inde & argu=
mentorum & testimoniorum uim assumpsit,
& id quidem eo feci, ut quemadmodum san=
ctissimi uiri potissimum sententia, illa tum
causa extincta est, sic nunc reuiuiscens om=
nino eiusdem armis intereat. Cum uero me=
cum cogitarem, sub cuius nomine diuinum
opus in lucem proferre deberem, Tu pri=
mum occurristi PATER Amplissime, quem
hoc munere dignissimum iudicarem. nam
si ii, qui rem aliquam cuipiam dicare uolunt,
id plerunq; rationis habent, ut is nobilitate
maxime prestet, cur hūc ego tibi librum non
consecrem, qui non minus uirtute quam ge=
neris splendore excellis, ut non facile diiu=
dicari possit, utrum sis familiæ amplitudine
clarior, an preclaris animi ornamentis illu=
strior? de quo illud merito dici queat.

Δεινὸς χαρακτὴρ, κἀπίσημος ἐν βροτοῖς,
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.

Quod si is etiam queritur, qui linguarum intelligentiam, & magnarum rerum atque artium notitiam habeat, quis est, qui in eo tibi prę ferri possit? Tu enim a prima ætate, semper illarum studiis floruisti, tantumque in ipsis profecisti, ut nemo unam aliquam tam perfecte scientiam didicerit, quam Tu omnium prestantissimarũ artium cognitionem es assecutus. Quid dicam de sacrarum diuinarumque rerum scientia, & illis ipsis studiis, quæ sunt christiano homine digna? non hic equidem dissimulabo quid sentiam, Te sic illa tenere. ut non modo cum iis, qui nostra memoria floruerũt, comparandus, sed ueteribus etiam illis christianæ Theologiæ principibus annumerandus esse uidearis. Sed quoniã elegantia doctrinæ, eloquentia, ipsa etiã sapientia, manca quodãmodo est, & propemodũ homini similis, qui altero oculo captus sit, nisi integritas uitæ & innocentia consequatur, sic enim est apud Gregorium, οἱ μὲν γὰρ ἢ βίον μόνον, ἢ λόγον κατωρθωκότες, τῷ ἑτέρῳ δὲ λείποντες, οὐδὲν τῶν ἑτεροφθάλμων, ἐμοὶ δοκεῖν, διαφέρουσιν, Tu profecto effecisti, ut nihil quod ad hominis perfectionem attineat, in te requiri possit. Tantum enim pro

bitatis tuæ lumen elucet, ut etiam maleuolo-
rum aciem præstringat, qui nimirum ueritate
ipsa coacti, tuā istam uirtutem obstupescunt.
præclare enim chrysostomus, τοιοῦτον γὰρ
ἀρετὴ, καὶ παρὰ τοῖς πολεμοῦσιν αὐτὴν θαυ-
μάζεται. Accedit eo incredibilis religio, &
summa quædam cura de christiana pietate
sacrisq; ritibus; quippe qui in quadam sacro-
sanctæ ecclesiæ quasi uigilia permanens, a
probatissima Christi disciplina nūquam dei-
cis oculos, ut te custode, nullis inimicorum
insidiis corrumpi posse uideatur. His igitur
de causis omniū grauissimis atq; iustissimis,
sub tuo nomine librum diuulgare constitui,
eo quidem animo, ut me nouo cuidam Gre-
gorio aut Basilio id muneris deferre existi-
mem. De quo Deum Opt. Max. testor,
qui omnium mentes maxime perspicit, me
non id facere, ut tuam mihi gratiam, quam
uis apud me maximi sit ponderis, per hanc
causam conciliem, siquidem & eiusmodi ra-
tio ad eam aucupandam, apud te nullum ha
beret locum, & tu ipse in eam me, pro tua
incredibili humanitate, nullo meo merito, re
cepisti, sed quod mihi multum diuq; cogi-
tanti, nulla aptior persona uisa est, per quam
potissimum saluberrimus liber in christiano-

rum manus perueniret. Accipies igitur munus, personæ quam tute tibi imposuisti accõmodatissimum, & christianam disciplinam, id quod semper fecisti, Tua sapientia & authoritate tuendam & conseruandam curabis.

ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ

τοῦ Δαμασκηνοῦ λόγος ἀπολογητικὸς πρὸς τοὺς διαβάλλοντας τὰς ἁγίας εἰκόνας.

Ἐχρῆν μὲν ἡμᾶς ἀεὶ τῆς ἑαυτῶν συναισθανομένους ἀναξιότητος, σιγὴν ἄγειν, καὶ θεῷ τὴν τῶν ἡμαρτημένων ἡμῖν προσάγειν ἐξομολόγησιν, ἀλλ' ἐπειδὴ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁρῶ δὲ τὴν ἐκκλησίαν, ἣν ὁ θεὸς ᾠκοδόμησεν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, βαλλομένην ὥσπερ θαλαττίῳ κλύδωνι, κύμασιν ἀλλεπαλλήλοις κορυφουμένῳ, ἐξ ἐπαχθεστάτης φορᾶς τῶν πονηρῶν πνευμάτων, κυκωμένην τε καὶ ταραττομένην, καὶ τὸν χιτῶνα χριστοῦ τὸν ἄνωθεν ὑφαντὸν, διαιρούμενον, ὃν ἀσεβῶν διελεῖν ἠυθαδίσαντο παῖδες, καὶ τὸ σῶμα αὐτοῦ εἰς διαφόρους κατατομὰς τεμνόμενον, ὅ ἐστιν ὁ τοῦ θεοῦ λόγος,

καὶ ἡ τῆς ἐκκλησίας ἄνωθεν κεκρατηκυῖα
παράδοσις, οὐκ οἶδ' ὅλως ἡγησάμην σιγᾶν, καὶ
δεσμὸν ἐπιθεῖναι τῇ γλώσσῃ, τὴν ἠπειλη-
μένην ἀπόφασιν ὑφορώμενος, τὴν φάσκουσαν·
Ἀββ.β' ἐὰν ὑποστείλῃ, οὐκ εὐδοκεῖ ἐν σοὶ ἡ ψυχή μου·
Ιεζ.λγ καὶ, ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ
ἀπαγγείλῃς τῷ ἀδελφῷ σου, ἐκ σοῦ ἐκζητή-
σω τὸ αἷμα αὐτοῦ. φόβῳ τοίνυν ἀφορήτῳ
βαλλόμενος, ἐπὶ τὸ λέγειν ἐλήλυθα, οὐ βα-
σιλέων ὕψος πρὸ τῆς ἀληθείας τιθείς, ἐλά-
ψαλ.ριη λουν γάρ, ἤκουσα τοῦ θεοπάτορος λέγοντος δα-
βίδ, ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην,
ἀλλὰ μᾶλλον τούτῳ πρὸς τὸ λέγειν νυττόμε-
νος· δεινὸν γὰρ βασιλέως λόγος πρὸς ὑπακο-
ὴν τῶν ὑπηκόων. ὀλίγοι γὰρ ὅσοι τῶν ἀνέκα-
θεν, βασιλικῶν κατωλιγώρησαν διαταγμάτων,
ὅσοι τὸν ἐπὶ γῆς βασιλέα, βασιλευόμενον οἴδα-
σιν ἄνωθεν, καὶ ὡς κρατοῦσιν οἱ νόμοι τῶν
βασιλέων. πρῶτον μὲν οὖν ἁπάντων, οἷόν
τινα τρόπιν, ἢ θεμέλιον τοῦ λογισμοῦ καταπή-
ξας τὴν τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας
συντήρησιν, δι' ἧς σωτηρία προσγίνεσθαι πέ-
φυκε, τοῦ λόγου τὴν βαλβίδα ἠνέωξα, καὶ
τοῦτον ὥσπερ ἵππον εὐχάλινον, τῆς ἀφετη-
ρίας προώρμησα. δεινὸν γὰρ ὄντως ἀήθην, καὶ
πέρα δεινῶν, τοσούτοις τὴν ἐκκλησίαν ἅμα

ρυσιβῶσαν πρὸς τοῖς ῥήμασι, καὶ ταῖς τῶν εὐσεβεστάτων ἀνδρῶν ἄνωθεν παραδόσεσιν ὡραϊσθεῖσαν, παλινοστεῖν αὖθις τὰ πτωχὰ στοιχεῖα, φοβουμένην φόβον οὗ οὐκ ἔστι φόβος. καὶ ὥσπερ οὐκ ἐγνωκυῖαν τὸν ὄντως θεὸν, ὑφορᾶσθαι τὸν εἰς εἰδωλολατρείαν ὄλισθον, καὶ κἂν τῷ ἐν σμικροτάτῳ τῆς τελειότητος λείπεσθαι, ὡς παρά τινα στιγμὴν ἐπίμονον ἐν μέσῳ προσώπου καλλίαν ὡραϊσμένου φέρουσαν, τῷ ἀχρόῳ τοῦ παραγράμματος, τοῦ κάλλους τὸ πᾶν λυμαινομένην. οὐ γὰρ μικρὸν τὸ μικρὸν, ὅταν εἰς μέγα ἐκφέρῃ, ὅπου γε οὐδὲ σμικρὸν τὸ παρεγχάραγμα, ἄνω κεκρατηκυῖαν ἐκκλησιῶν ἀνατραπῆναι παράδοσιν, οἷα κατεγνωσμένων τῶν προκαθηγησαμένων ἡμᾶς, ὧν ἐχρῆν ἀναθεωροῦντας τὴν ἀναστροφὴν, μιμεῖσθαι τὴν πίστιν. ἐκλιπαρῶ τοίνυν, πρῶτον μὲν, τὸν παντοκράτορα κύριον, ᾧ γυμνὰ πάντα καὶ τετραχηλισμένα, πρὸς ὑμᾶς ὁ λόγος, εἰδότα τῆς ταπεινῆς μου γνώμης ἐν τούτῳ τὸ ἀκραιφνὲς, καὶ τοῦ σκοποῦ τὸ εἰλικρινὲς, δοῦναί μοι λόγον ἐν ἀνοίξει στόματός μου, καὶ τοῦ νοῦ τὰς ἡνίας οἰκείαις χερσὶν ἀναδέξασθαι, καὶ ὅλον πρὸς ἑαυτὸν αὖθις ἀνασπάσασθαι, πρὸς ἐνώπιόν τε καὶ διὰ θείαν τρίβον τὴν ῥύμην ποιούμενον, μὴ ἐγκλίνοντα πρὸς τὰ δοκοῦντα δεξιὰ, ἢ

ἀοιστρὰ γνωριζόμενα. μεθ' ὅν, ἅπαντα τὸν
τοῦ θεοῦ λαόν, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον
ἱεράτευμα, σὺν τῷ καλῷ ποιμένι τῆς λογι-
κῆς χριστοῦ ποίμνης, ὃ τὴν χριστοῦ ἱεραρχίαν
ἐν ἑαυτῷ ἀπογράφοντι, δέξασθαί μου τὸν
λόγον μετ' εὐμενείας. μὴ τῷ ἐλαχίστῳ τῆς
ἀξίας προσέχοντας, ἢ λείπων ἐνδείξειν ποῦ τὰς
στροφάς, ἐπεὶ τούτων οὐ παντελῶς ἴδρις ὁ
πένης ἐγώ, ἀλλὰ τῶν νοημάτων φροντίσαι
δυνάμεως. οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τῶν
οὐρανῶν, ἀλλ' ἐν δυνάμει. οὐ γὰρ νικῆσαι σκο-
πός, ἀλλὰ τῇ ἀληθείᾳ πολεμουμένῃ χεῖρα
ὀρέξαι, τῆς προαιρέσεως ὀρεγούσης χεῖρα δυνά-
μεως. Ἀρωγὸν ποιῶ τὴν ἀνυπόστατον ἐνδικε-
κλημένος ἀλήθειαν, ἐν τούτῳ τοῦ λόγου τὰς ἀρ-
χὰς ποιήσομαι. Οἶδα τὸν ἀψευδῶς εἰπόντα.
Ἐξο. κ' κύριος ὁ θεός σου, κύριος εἷς ἐστι. καὶ, κύριον τὸν θεόν
σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.
καὶ, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι. καὶ, οὐ ποιή-
σεις γλυπτὸν πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρα-
νῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω. καὶ, αἰσχυν-
θήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυ-
πτοῖς. καὶ, θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν
οὐκ ἐποίησαν, ἀπολέσθωσαν. καὶ ὅσα τοιου-
τοτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πα-
Ἑβρ. α. τράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμε-

ρῶν ἐλάλησεν ἡμῖν ἐν τῷ μονογενεῖ αὐτοῦ
υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. οἶδα
τὸν εἰπόντα. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα Ἰωάν. ιζ
γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν
ἀπέστειλας Ἰησοῦν χριστόν. πιστεύω εἰς ἕνα
θεόν, μίαν τῶν πάντων ἀρχήν, ἄναρχον,
ἄκτιστον, ἀνώλεθρον καὶ ἀθάνατον, αἰώνιον
καὶ ἀΐδιον, ἀκατάληπτον, ἀσώματον, ἀόρα
τον, ἀπερίγραπτον, ἀσχημάτιστον. μίαν ὑπε-
ρούσιον οὐσίαν, ὑπέρθεον θεότητα, ἐν τρι
σὶν ὑποστάσεσι, πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύ
ματι, καὶ τούτῳ μόνῳ λατρεύω, καὶ τούτῳ
μόνῳ προσάγω τὴν τῆς λατρείας προσκύνη
σιν. ἑνὶ θεῷ προσκυνῶ, μιᾷ θεότητι. ἀλλὰ
καὶ τριάδι λατρεύω ὑποστάσεων. θεῷ πα
τρί. καὶ θεῷ υἱῷ σεσαρκωμένῳ. καὶ θεῷ ἁγίῳ
πνεύματι. ἑνὶ θεῷ. οὐ προσκυνῶ τῇ κτίσει
παρὰ τὸν κτίσαντα, ἀλλὰ προσκυνῶ τὸν κτί
στην κτισθέντα τὸ κατ' ἐμέ, καὶ εἰς κτίσιν
ἀταπεινώτως καὶ ἀκαθαιρέτως κατεληλυ
θότα, ἵνα τὴν ἐμὴν δοξάσῃ φύσιν, καὶ θείας
κοινωνὸν ἀπεργάσηται φύσεως. συμπροσκυ
νῶ τῷ βασιλεῖ καὶ θεῷ, τὴν ἁλουργίδα τοῦ
σώματος. οὐχ ὡς ἱμάτιον, οὐδ' ὡς τέταρτον
πρόσωπον. ἄπαγε. ἀλλ' ὡς ὁμόθεον χρηματί
σασαν, καὶ γενομένην ὅπερ τὸ χρῖσαν ἀμετα

βλήτως, οὐ γὰρ θεότης ἡ φύσις γέγονε τῆς σαρκός. ἀλλ᾽ ὥσπερ ὁ λόγος, σὰρξ ἀτρέπτως γέγονε, μείνας ὅπερ ἦν, οὕτω καὶ ἡ σὰρξ, λόγος γέγονεν, οὐκ ἀποβαλοῦσα τὸ ὅπερ ἐστι, ταυτιζομένη δὲ μᾶλλον πρὸς τὸν λόγον καθ᾽ ὑπόστασιν. διὸ θαρρῶν, εἰκονίζω θεὸν τὸν ἀόρατον. οὐχ᾽ ὡς ἀόρατον, ἀλλ᾽ ὡς ὁρατὸν δι᾽ ἡμᾶς γενόμενον, μεθέξει σαρκός τε καὶ αἵματος. οὐ τὴν ἀόρατον εἰκονίζω θεότητα, ἀλλ᾽ εἰκονίζω θεοῦ τὴν ὁραθεῖσαν σάρκα. εἰ γὰρ ψυχὴν εἰκονίσαι ἀμήχανον, πόσω μᾶλλον θεὸν, τὸν καὶ τῇ ψυχῇ διδόντα τὸ ἄϋλον; ἀλλὰ φησὶν, εἶπεν ὁ

Εξοδ. κ' θεὸς διὰ Μωσέως τοῦ νομοθέτου, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ, οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐν τῇ γῇ. ἀδελφοὶ, ὄντως πλανῶνται οἱ μὴ εἰδότες τὰς γραφὰς, ὡς τὸ γράμμα ἀποκτένει, τὸ δὲ πνεῦμα, ζωοποιεῖ, οἱ μὴ ἐρευνῶντες τὸ ὑπὸ τῷ γράμματι κεκρυμμένον πνεῦμα. πρὸς οὓς ἂν ἀξίως εἴποιμι. ὁ τοῦτο διδάξας ὑμᾶς, διδαξάτω καὶ τὸ ἑπόμενον. μάθε ὅπως ἑρμηνεύει ὁ νομοθέτης, ὧδέ πως ἐν τῷ δευτε-

Δευτ. δ ρονομίῳ λέγων. καὶ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐκ μέσου τοῦ πυρὸς, φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ᾽ ἢ

φωνήν. Καὶ μετ' ὀλίγα. καὶ φυλάξασθε
σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι ὁμοίωμα οὐκ
εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε κύριος πρὸς
ὑμᾶς ἐν χωρὴβ ἐν τῷ ὄρει ἐκμέσου τοῦ πυρός,
μήποτε ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυ-
τοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίω
μα ἀρσενικοῦ ἢ θηλυκοῦ, ὁμοίωμα παντὸς
κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς. ὁμοίωμα
παντὸς ὀρνέου πτερωτοῦ. καὶ τὰ ἑξῆς. Καὶ
μετὰ βραχέα. καὶ μήποτε ἀναβλέψας εἰς
τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελή
νην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον
τοῦ οὐρανοῦ, πλανηθεὶς, προσκυνήσῃς αὐτοῖς
καὶ λατρεύσῃς αὐτοῖς. Ὁρᾷς, ὡς εἷς ἐστιν ὁ
σκοπὸς, ὥστε μὴ λατρεύειν τῇ κτίσει παρὰ τὸν
κτίσαντα; μὴ δὲ προσαγαγεῖν τὴν τῆς λα
τρείας προσκύνησιν, ἀλλ' ἢ μόνῳ τῷ δημιουρ β·. κορ. γ
γῷ; διὸ πανταχῇ συνάπτει τῇ προσκυνή
σει τὴν λατρείαν. Πάλιν γράφουσιν. οὐκ ἔσον
ταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ. οὐ ποιήσεις Ἐξοδ. κ'
ἑαυτῷ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα, οὐδὲ
προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσεις
αὐτοῖς, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. Καὶ
πάλιν. τοὺς βωμοὺς αὐτῶν καθελεῖτε. καὶ Δευτ. ζ'
τὰς στήλας αὐτῶν συντρίψετε. καὶ τὰ ἄλ
ση αὐτῶν ἐκκόψετε. καὶ τὰ γλυπτὰ τῶν

θεῶν αὐτὴν κατακαύσετε πυρὶ, οὐ γὰρ μὴ
προσκυνήσετε θεῷ ἑτέρῳ. Καὶ μετ᾽ ὀλίγα.
ϗ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ. Ὁρᾷς,
ὡς τῆς εἰδωλολατρείας ἕνεκα ἀπαγορεύει
τὴν εἰκονογραφίαν; καὶ ὅτι ἀδύνατον εἰκο-
νίζεσθαι θεὸν, τὸν ἄποσον, καὶ ἀπερίγρα-
δευτ. δ πτον, καὶ ἀόρατον; οὐ γὰρ εἶδος αὐτοῦ φησιν
ἑωράκατε, καθὰ καὶ Παῦλος ἑστὼς ἐν μέσῳ
πράξ. ιζ' τοῦ ἀρείου πάγου, φησί. γένος οὖν ὑπάρχον-
τες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ,
ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ
ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.
ἰουδαίοις μὲν, διὰ τὸ πρὸς εἰδωλολατρείαν
ὄλισθον, ταῦτα νενομοθέτητο. ἡμεῖς δὲ,
θεολογικῶς εἰπεῖν, οἷς ἐδόθη φυγοῦσι τὴν
δεισιδαίμονα πλάνην, καθαρῶς μετὰ τοῦ
θεοῦ γενέσθαι, ἐπεγνωκόσι τὴν ἀλήθειαν,
καὶ θεῷ μόνῳ λατρεύειν, ϗ τῆς θεογνωσίας
κατὰ πλουτῆσαι τὴν πληρότητα, ϗ εἰς ἄν-
δρα καταντῆσαι τέλειον παρελθοῦσι τὴν νη-
πιότητα, οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμὲν, λα-
βόντες τὴν διακριτικὴν ἕξιν παρὰ θεοῦ,
καὶ εἰδότες τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ μὴ
εἰκόνι περιγραφόμενον. οὐ γὰρ εἶδος αὐτοῦ
φησιν ἑωράκατε. βαβαὶ τῆς σοφίας τοῦ νομο-
θέτου. πῶς εἰκονισθήσεται τὸ ἀόρατον; πῶς

εἰκασθήσεται τὸ ἀνείκαστον; πῶς γραφήσεται τὸ ἄποσον καὶ ἀμέγεθες καὶ ἀόριστον; πῶς ποιωθήσεται τὸ ἀνείδεον; πῶς χρωματουργηθήσεται τὸ ἀσώματον; τί οὖν τὸ μυστικῶς μηνυόμενον; δῆλον, ὡς ὅταν ἴδῃς δι' ἐσὲ γενόμενον ἄνθρωπον τὸν ἀσώματον, τότε δράσεις τῆς ἀνθρωπίνης μορφῆς τὸ ἐκτύπωμα. ὅταν ὁρατὸς σαρκὶ ὁ ἀόρατος γένηται, τότε εἰκονίσεις τὸ τοῦ ὁραθέντος ὁμοίωμα. ὅτε ὁ ἀσώματος καὶ ἀσχημάτιστος, ἄποσός τε καὶ ἀπήλικος καὶ ἀμεγέθης τῇ ὑπεροχῇ τῆς ἑαυτοῦ φύσεως, ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, μορφὴν δούλου λαβὼν, ταύτῃ συσταλῇ πρὸς ποσότητά τε καὶ πηλικότητα, καὶ χαρακτῆρα περιθῆται σώματος, τότε ἐν πίναξι χάραττε, καὶ ἀνάθες πρὸς θεωρίαν τὸν ὁραθῆναι καταδεξάμενον. χάραττε τούτου τὴν ἄφατον συγκατάβασιν. τὴν ἐκ παρθένου γέννησιν. τὴν ἐν ἰορδάνῃ βάπτισιν. τὴν ἐν θαβὼρ μεταμόρφωσιν. τὰ πάθη, τὰ τῆς ἀπαθείας πρόξενα. τὸν θάνατον. τὰ θαύματα, τὰ τῆς θείας αὐτοῦ σύμβολα φύσεως, δι' ἐνεργείας σαρκὸς, ἐνεργείᾳ θείᾳ πραττόμενα. τὸν σταυρὸν τὸν σωτήριον. τὴν ταφήν. τὴν ἀνάστασιν. τὴν εἰς οὐρανοὺς ἄνοδον. πάντα γράφε καὶ λόγῳ καὶ χρώματι. μὴ φοβοῦ. μὴ δέδιθι. οἶδα

διαφοραὶ προσκυνήσεων. προσκυνῆσαί ποτε
γεν. κγ' Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμὼρ, ὅτι τὸ σπήλαιον
τὸ διπλοῦν εἰς τάφου κλῆρον ὠνήσατο, αἰ
σθάνην ἀσεβέπ καὶ ἀγνωσίαν νοσοῦσι θεοῦ.
γεν. λγ προσκυνῆσαι Ἰακὼβ Ἡσαῦ τῷ ἀδελφῷ,
καὶ Φαραὼ ἀνδρὶ αἰγυπτίῳ. ἀλλὰ μὴν
γεν. μζ καὶ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου προσκύνησε
μὲν, ἀλλ' οὐκ ἐλάτρευσε. προσκυνῆσαν Ἰησοῦς
Ἰησ. ε'. ὁ τοῦ Ναυὴ, καὶ δανιὴλ ἀγγέλῳ θεοῦ, ἀλλ' οὐκ
Δαν. ι'. ἐλάτρευσαν. ἕτερον γάρ ἐστιν ἡ τῆς λατρείας
προσκύνησις, καὶ ἕτερον ἡ ἐκ τιμῆς προσαγο-
μένη τοῖς κατά τι ἀξίωμα ὑπερέχουσιν.

Ἀλλ' ἐπειδὴ περὶ εἰκόνος ὁ λόγος καὶ προσ-
κυνήσεως, φέρε τὸν περὶ τούτων λόγον διευ-
κρινήσωμεν. εἰκὼν μὲν οὖν ἐστιν, ὁμοίωμα χα-
ρακτηρίζον τὸ πρωτότυπον, μετά τινος
διαφορὰν ἔχειν πρὸς αὐτὸ, οὐ γὰρ κατὰ πάν-
τα ἡ εἰκὼν ὁμοιοῦται πρὸς τὸ ἀρχέτυπον.
εἰκὼν τοίνυν ζῶσα φυσικὴ καὶ ἀπαράλλα-
κτος τοῦ ἀοράτου θεοῦ, ὁ υἱός. ὅλον ἐν ἑαυτῷ
φέρων τὸν πατέρα, κατὰ πάντα ἔχων τὴν
πρὸς αὐτὸν ταυτότητα, μόνῳ δὲ διαφέρων
τῷ αἰτιατῷ. αἴτιον μὲν γὰρ φυσικὸν, ὁ πατήρ.
αἰτιατὸν δὲ, ὁ υἱός. οὐ γὰρ πατὴρ ἐξ υἱοῦ,
ἀλλὰ υἱὸς ἐκ πατρός, ἐξ αὐτοῦ γὰρ, εἰ καὶ
μὴ μετ' αὐτὸν ἔχει τὸ εἶναι, ὁ πέρ ἐστιν ὁ γεν-

νύξας πατήρ. εἰσὶ δὲ καὶ ἐν τῷ θεῷ εἰκόνες καὶ παραδείγματα τῶν ὑπ' αὐτοῦ ἐσομένων, τουτέστιν ἡ βουλὴ αὐτοῦ ἡ προαιώνιος καὶ ἀεὶ ὡσαύτως ἔχουσα, ἄτρεπτον γὰρ τὸ θεῖον κατὰ πάντα, καὶ οὐκ ἔστιν ἐν αὐτῷ μεταβολὴ, ἢ τροπῆς ἀποσκίασμα. ταύτας τὰς εἰκόνας καὶ τὰ παραδείγματα, προορισμοὺς φησὶν ὁ ἅγιος Διονύσιος ὁ πολὺς τὰ θεῖα, καὶ μετὰ θεὸν τὰ περὶ θεοῦ διασκεψάμενος. ἐν γὰρ τῇ βουλῇ αὐτοῦ ἐχαρακτηρίζετο πάντα τὰ ὑπ' αὐτοῦ προωρισμένα, καὶ ἀπαραβάτως ἐσόμενα πρὶν γενέσεως αὐτῶν, ὥσπερ εἴ τις βούλοιτο οἰκοδομῆσαι οἶκον, ἀνατυποῖ καὶ εἰκονίζει πρῶτον τὸ σχῆμα κατὰ διάνοιαν. εἶτα πάλιν εἰκόνες εἰσὶ τὰ ὁρατὰ τῶν ἀοράτων καὶ ἀτυπώτων, σωματικῶς τυπουμένων πρὸς ἀμυδρὰν κατανόησιν. καὶ γὰρ ἡ θεία γραφὴ, τύπους θεῷ καὶ ἀγγέλοις περιτίθησι, καὶ τὴν αἰτίαν διδάσκει ὁ αὐτὸς θεῖος ἀνήρ. ὅτι μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι, καὶ τὰ σχήματα τῶν ἀσχηματίστων, οὐ μόνον αἰτίαν φαίη τις εἶναι τὴν καθ' ἡμᾶς ἀναλογίαν, ἀδυνατοῦσαν ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ δεομένην οἰκείων καὶ συμφυῶν ἀναγωγῶν. εἰ τοίνυν τῶν ἡμῶν προνοῶν ἀνα-

λογικοῦ ὁ θεῖος λόγος, πάντοτε τὸ αἰσθη-
τικὸν ἡμῖν ποιούμενος, καὶ τοῖς ἀπλοῖς
καὶ ἀτυπώτοις τύπους τινὰς περιτίθησι,
πῶς μὴ εἰκονίσει τὰ σχήματα μεμορφωμένα
κατὰ τὴν οἰκείαν φύσιν, καὶ ποθούμενα μὲν,
διὰ δὲ τὸ μὴ παρεῖναι, ὁρᾶσθαι μὴ δυνάμε-
να; διὰ γὰρ τῆς αἰσθήσεως, φαντασία τις
συνίσταται ἐν τῇ ἔμπροσθεν κοιλίᾳ τοῦ ἐγκε-
φάλου, καὶ οὕτω τῷ κριτικῷ παραπέμπεται,
καὶ τῇ μνήμῃ ἐναποθησαυρίζεται. φησὶ γοῦν
καὶ ὁ θεορρήμων Γρηγόριος, ὅτι πολλὰ κά-
μνων ὁ νοῦς, ἐκβῆναι τὰ σωματικὰ πάν-
τη ἀδυνατεῖ. ἀλλὰ καὶ τὰ ἀόρατα τοῦ
Ρωμ. α. θεοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι
νοούμενα καθορᾶται. ὁρῶμεν γὰρ εἰκόνας
ἐν τοῖς κτίσμασι, μηνυούσας ἡμῖν ἀμυδρῶς
τὰς θείας ἐμφάσεις. ὡς ὅτε λέγομεν
τὴν ἁγίαν τριάδα τὴν ὑπεράρχιον, εἰκονί-
ζεσθαι δι' ἡλίου καὶ φωτὸς καὶ ἀκτῖνος. ἢ
πηγῆς ἀναβλυζούσης καὶ πηγαζομένου νάμα-
τος καὶ προχοῆς. ἢ νοῦ καὶ λόγου καὶ πνεύ-
ματος τοῦ καθ' ἡμᾶς. ἢ ῥόδου φυτοῦ καὶ ἄν-
θους καὶ εὐωδίας. πάλιν. εἰκὼν λέγε-
ται, ἡ τῶν ἐσομένων αἰνιγματωδῶς σκιαγρα-
φοῦσα τὰ μέλλοντα, ὡς ἡ κιβωτὸς τὴν ἁγίαν
παρθένον καὶ θεοτόκον, καὶ ἡ ῥάβδος, καὶ ἡ

σάμνος. καὶ ὡς ὁ ὄφις, τὸν τὸ δῆγμα διὰ σταυροῦ καταργήσαντα τ ἀρχεκάκου ὄφεως. ἤ, τε θάλασσα, τὸ ὕδωρ. καὶ ἡ νεφέλη, τὸ τῦ βαπτίσματος πνεῦμα. πάλιν εἰκὼν λέγεται τῶν γεγονότων, ἢ κατά τινος θαύματος μνήμην, ἢ τιμῆς, ἢ αἰσχύνης, ἢ ἀρετῆς, ἢ κακίας, πρὸς τὴν ὕστερον τῶν θεωρούντων ὠφέλειαν, ὡς ἂν τὰ μὲν κακὰ, φεύγωμεν, τὰς δὲ ἀρετὰς ζηλώσωμεν. διπλῆ δὲ αὕτη, διά τε λόγου ταῖς βίβλοις ἐγγραφομένου, ὡς ὁ θεὸς τὸν νόμον ταῖς πλαξὶν ἐνεκόλαψε, καὶ τῶν θεοφιλῶν ἀνδρῶν βίους ἀναγράπτους γενέσθαι προσέταξε. καὶ διὰ θεωρίας αἰσθητῆς, ὡς τὴν στάμνον καὶ τὴν ῥάβδον ἐν τῇ κιβωτῷ τεθῆναι προσέταξεν εἰς μνημόσυνον. οὕτω καὶ νῦν τὰς εἰκόνας τῶν γεγονότων, καὶ τὰς ἀρετὰς διαγράφομεν. ἢ τοίνυν πᾶσαν εἰκόνα ἄνελε, καὶ ἀντινομοθέτει τῷ ταύτας προστάξαντι γενέσθαι, ἢ ἑκάστην δέχου κατὰ τὸν ἑκάστῃ πρέποντα λόγον καὶ τρόπον. Εἰπόντες τοίνυν τὸν τῆς εἰκόνος τρόπον, εἴπωμεν καὶ περὶ προσκυνήσεως. ἡ προσκύνησις, ὑποπτώσεως καὶ τιμῆς ἐστὶ σύμβολον. καὶ ταύτης, διαφόρους ἔγνωμεν τρόπους. πρῶτον, τὴν κατὰ λατρείαν, ἣν προσάγομεν μόνῳ τῷ φύσει προσκυνητῷ θεῷ.

ἔπειτα, τὴν δὲ τὸν φύσει προσκυνητὸν θεὸν
προσαγορευομένην τοῖς αὐτοῦ φίλοις τε καὶ θεράπου
Ἰησ. έ. σιν, ὡς τῷ ἀγγέλῳ Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ δα
Δαν. ί. νιὴλ προσεκύνησεν. ἢ τοῖς θεοῦ τόποις, ὥς φη
ψαλ. ρλα σιν ὁ δαβίδ. προσκυνήσωμεν εἰς τὸν τόπον,
οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. καὶ τοῖς αὐτοῦ
ἀναθήμασιν, ὡς ἅπας ὁ ἰσραὴλ τῇ σκηνῇ
προσεκύνει, καὶ τῷ ἐν ἱερουσαλὴμ ναῷ κύκλῳ
ἑστῶτες, καὶ πρὸς αὐτὸν ἁπανταχόθεν ὁρῶν
τες καὶ προσκυνοῦντες εἰσέτι καὶ νῦν. ἢ
τοῖς ὑπ' αὐτοῦ χειροτονηθεῖσιν ἄρχουσιν, ὡς Ια
γεν. λγ. κὼβ τῷ, τε Ησαῦ ὡς πρεσβυτέρῳ ἀδελφῷ.
γεν. μζ. ἀπὸ θεοῦ γενομένῳ, καὶ Φαραὼ ἀπὸ θεοῦ
γεν. μϐ χειροτονηθέντι ἄρχοντι. καὶ τῷ Ἰωσὴφ, οἱ αὐτοῦ
ἀδελφοί. οἶδα καὶ κατὰ τιμὴν τὴν πρὸς ἀλ
λήλους προσκύνησιν, ὡς Ἀβραὰμ τοῖς υἱοῖς
γεν. κγ Ἐμμώρ. ἢ τοίνυν πᾶσαν προσκύνησιν ἄνελε,
ἢ πάσας δέχου μετὰ τοῦ ὀφείλοντος λόγου καὶ
τρόπου. λέγε μοι ἐρωτῶντι. εἷς θεὸς ὁ θεός;
ναὶ φήσεις ὥς ἔμοιγε δοκεῖ, εἷς νομοθέτης. τί
οὖν νομοθετεῖ τὰ ἐναντία; οὐ γὰρ ἔξω τῆς
κτίσεως τὰ χερουβίμ. τί οὖν προστάττει χε
Ἐξο. κέ. ρουβὶμ γλυπτὰ ἀνθρώπων χερσὶ τεκταινόμε-
λζ' να, σκιάζειν τὸ ἱλαστήριον; ἢ δῆλον, ὡς θεοῦ
μὲν, ὡς ἀπεριγράπτου καὶ ἀνεικάστου ποιεῖν
εἰκόνα ἀμήχανον, ἢ τινὸς ὡς θεοῦ, ἵνα μὴ ὡς

θείως λαμβανομένη προσκυνεῖται ἡ κτίσις. τῶν
δὲ χερουβὶμ ὡς περιγεγραπτῶν, καὶ τῷ θείῳ
θρόνῳ δουλοπρεπῶς παρεστώτων, τὴν εἰκό-
να προστάττει ποιεῖν, δουλοπρεπῶς σκιάζον-
των τὸ ἱλαστήριον, ἔπρεπε γὰρ τῇ εἰκόνι τῶν
οὐρανίων λειτουργῶν, τὴν εἰκόνα τῶν θείων
μυστηρίων σκιάζεσθαι. τί δὲ φὴς τὴν κιβω-
τὸν, τὴν στάμνον, τὸ ἱλαστήριον, οὐ χειρότευ-
κτα; οὐκ ἔργα χειρῶν ἀνθρώπων; οὐκ ἐξ ἀτί-
μου, ὡς σὺ φὴς, ὕλης κατεσκευασμένα; τί
δὲ ἡ σκηνὴ ἅπασα, οὐχὶ εἰκὼν ἦν; οὐ σκιὰ καὶ
ὑπόδειγμα; φησὶ τοιγαροῦν ὁ θεῖος ἀπό-
στολος, περὶ τῶν κατὰ τὸν νόμον ἱερέων διε-
ξιών, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λα- Εβρ. η.
τρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημά-
τισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκη-
νήν. ὅρα γάρ φησι, ποιήσεις πάντα κατὰ Εξο. κε.
τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. ἀλλ᾽
οὐδὲ εἰκὼν ἦν ὁ νόμος, ἀλλ᾽ εἰκόνος προσκία-
σμα. φησὶ γοῦν ὁ αὐτὸς ἀπόστολος. σκιὰν γὰρ Εβρ. ι.
ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ
αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων. εἰ οὖν
ὁ νόμος εἰκόνας ἀπαγορεύει, αὐτὸς δὲ εἰκό-
νος ἐστὶ προχάραγμα, τί φήσομεν; εἰ ἡ σκηνὴ
σκιὰ, καὶ τύπου τύπος, πῶς μὴ εἰκονογρα-
φεῖν ὁ νόμος διακελεύεται; ἀλλ᾽ οὐκ ἔστιν

καὶ ἡ τῶν εὐαγγελίων παναγία βίβλος; ἢ
οὐχ ὕλη ἡ ζωηφόρος τράπεζα, ἡ τὸν ἄρτον ἡ-
μῖν τῆς ζωῆς χορηγοῦσα; ἢ οὐχ ὕλη, ὁ χρυ-
σός τε καὶ ὁ ἄργυρος, ἐξ ὧν σταυροὶ καὶ πίνα-
κες κατασκευάζονται, καὶ ποτήρια; ἢ οὐχ
ὕλη πρὸ τούτων ἁπάντων, τὸ τοῦ κυρίου ἡ-
μῶν σῶμα καὶ αἷμα; ἢ πάντων τούτων ἄφε-
λε τὸ σέβας καὶ τὴν προσκύνησιν, ἢ παραχώ-
ρει τῇ ἐκκλησιαστικῇ παραδόσει καὶ τὴν τῶν
εἰκόνων προσκύνησιν, θεοῦ καὶ φίλων θεοῦ
ὀνόματι ἁγιαζομένων, καὶ διὰ τοῦτο θείου πνεύ-
ματος ἐπισκιαζομένων χάριτι. μὴ κάκιζε τὴν
ὕλην, οὐ γὰρ ἄτιμος. οὐδὲν γὰρ ἄτιμον, ὃ πα-
ρὰ θεοῦ γεγένηται. τοῦτο μανιχαίων ἐστὶ τὸ
φρόνημα. μόνον δὲ ἄτιμον, ὃ μὴ τὴν αἰτίαν
ἔσχεν ἐκ θεοῦ, ἀλλ' ἡμέτερόν ἐστιν εὕρεμα, τῇ
ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν αὐτεξου-
σίῳ ἐκκλίσει τε καὶ ῥοπῇ τοῦ θελήματος, του-
τέστιν ἡ ἁμαρτία. εἰ δὲ διὰ τὸν νόμον τὰς εἰκό-
νας ἀτιμάζεις, καὶ ἀπαγορεύεις ὡς ἐξ ὕλης
κατεσκευασμένας, ὅρα τί φησιν ἡ γραφή. καὶ Ἐξο. λα´
ἐλάλησε κύριος πρὸς Μωϋσῆν, λέγων. ἰδοὺ
ἀνακέκληκα ἐξ ὀνόματος Βεσελεὴλ τὸν τοῦ
Οὔρ, ἐκ φυλῆς Ἰούδα. καὶ ἐνέπλησα αὐτὸν
πνεῦμα θεῖον, σοφίας καὶ συνέσεως καὶ ἐπιστή-
μης ἐν παντὶ ἔργῳ διανοεῖσθαι. καὶ ἀρχιτεκ-

τονεῖν, καὶ ἐργάζεσθαι τὸ χρυσίον, καὶ τὸ
ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὴν ὑάκινθον,
καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νηστόν,
καὶ τὴν βύσσον τὴν κεκλωσμένην, καὶ τὰ
λιθουργικὰ εἰς τὰ ἔργα, καὶ τὰ τεκτονικὰ
εἰς τὰ ξύλα, ἐργάζεσθαι κατὰ πάντα τὰ
ἔργα. καὶ ἐγὼ δέδωκα αὐτὸν καὶ τὸν Ἐλιὰβ
τὸν τοῦ Ἀχισαμὰχ ἐκ φυλῆς Δὰν, καὶ παντὶ
συνετῷ καρδίᾳ ἐγὼ δέδωκα σύνεσιν, καὶ ποιή-
σουσι πάντα ὅσα σοι συνέταξα. Καὶ πάλιν.
Ἐξοδ. λε εἶπε Μωϋσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν
Ἰσραήλ. ἠκούσατε τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε
κύριος, λέγων. Λάβετε παρ᾽ ὑμῶν αὐτῶν ἀ-
φαίρεμα τῷ κυρίῳ, πᾶς ὁ καταδεχόμενος τῇ
καρδίᾳ, οἴσουσι τὰς ἀπαρχὰς τῷ κυρίῳ. χρυ-
σίον. ἀργύριον. χαλκόν. ὑάκινθον. πορφύ-
ραν. κόκκινον διπλοῦν διανενησμένον. καὶ
βύσσον κεκλωσμένην. καὶ τρίχας αἰγείας.
καὶ δέρματα κριῶν ἠρυθροδανωμένα. καὶ δέρ-
ματα ὑακίνθινα. καὶ ξύλα ἄσηπτα. καὶ ἔλαιον
τῆς χρίσεως. καὶ τὸ θυμίαμα τῆς συνθέσεως.
καὶ λίθους σαρδίου. καὶ λίθους εἰς τὴν γλυ-
φὴν, καὶ εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸν ποδήρη.
καὶ πᾶς σοφὸς καρδίᾳ ἐν ὑμῖν, ἐλθὼν ἐργα-
ζέσθω πάντα ὅσα συνέταξε κύριος. τὴν σκη-
νήν. καὶ τὰ ἑξῆς. Ἰδοὺ δὴ ἡ ὕλη τιμία καὶ

καθ' ὑμᾶς ἄτιμος. τί γὰρ τειχῶν αἰγείων ἀπλέστερον, ἢ χρωμάτων; ἢ οὐ χρῶμα τὸ κόκκινον, καὶ ἡ πορφύρα, καὶ ἡ ὑάκινθος; Ἰδοὺ δὴ καὶ ἔργα χειρῶν ἀνθρώπων, καὶ ὁμοίωμα χερουβίμ. πῶς οὖν διὰ τὸν νόμον ἀπαγορεύεις, ἃ ποιεῖν ὁ νόμος προσέταξε; εἰ διὰ τὸν νόμον τὰς εἰκόνας ἀπαγορεύεις, ἔρασοι καὶ σαββατίζειν καὶ περιτέμνεσθαι. ἀλλ' ἴσθι ὡς ἐὰν τὸν νόμον τηρεῖτε, χριστὸς οὐδὲν ὑμᾶς ὠφελήσει. οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. οὐχ ἑώρα θεὸν ὁ πάλαι Ἰσραὴλ, ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμεθα. καὶ αἰσθητῶς μὲν ἐν αὐτῷ χαρακτῆρα περιτιθέμεν ἁπανταχῆ, καὶ τὴν πρώτην ἁγιαζόμεθα τῶν αἰσθήσεων· πρώτη δὲ αἰσθήσεων ὅρασις. ὥσπερ καὶ τοῖς λόγοις, τὴν ἀκοήν. ὑπόμνημα γάρ ἐστιν ἡ εἰκών. καὶ ὅπερ τοῖς γράμμασι μεμυημένοις ἡ βίβλος, τοῦτο τοῖς ἀγραμμάτοις ἡ εἰκών. καὶ ὅπερ τῇ ἀκοῇ ὁ λόγος, τοῦτο τῇ ὁράσει ἡ εἰκών, νοητῶς δὲ αὐτῇ ἑνούμεθα. διὰ τοῦτο προσέταξεν ὁ θεὸς γενέσθαι κιβωτὸν ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσῶσαι αὐτὴν ἔσωθεν καὶ ἔξωθεν, καὶ ἐνθεῖναι τὰς πλάκας, καὶ τὴν ῥάβδον, καὶ τὴν στάμνον τὴν χρυσῆν ἔχουσαν τὸ μάννα πρὸς ὑπό- Ἐξοδ. κε

μνήμην τῶν γεγονότων, καὶ προτύπωσιν τῶν
μελλόντων. καὶ τίς οὐκ ἐρεῖ ταῦτα, εἰκόνας;
διαπρυσίους ἐπικήρυκας; καὶ ταῦτα οὐκ ἐκ-
πολχίων ἔκειτο τῆς σκηνῆς, ἀλλὰ κατενώπιον
παντὸς τοῦ λαοῦ. πρὸς ἃ ἀποβλέποντες,
τῷ δι' αὐτῶν ἐνεργήσαντι θεῷ προσέφερον
τὴν προσκύνησιν καὶ τὴν λατρείαν. δῆλον
ὡς οὐχ ὡς αὐτοῖς λατρεύοντες, ἀλλὰ δι'
αὐτῶν εἰς ὑπόμνησιν τῶν θαυμάτων ἀ-
γόμενοι, καὶ τῷ τερατουργῷ θεῷ τὴν προσ-
κύνησιν νέμοντες. εἰκόνες γὰρ ἦσαν πρὸς ὑ-
πόμνησιν κείμεναι, οὐχ ὡς θεοί, ἀλλ' ὡς θείας
Ιησ. δ'. ἐνεργείας ὑπόμνησιν ἄγουσαι. καὶ δώδε-
κα λίθους προσέταξεν ὁ θεὸς ληφθῆναι ἐκ
τοῦ Ιορδάνου, καὶ τὴν αἰτίαν προστίθησι. φησὶ
γάρ. ὅταν ἐρωτήσῃ σε ὁ υἱός σου. τί εἰσιν οἱ λίθοι
οὗτοι, διηγοῦ πῶς ἐξέλιπε τὸ ὕδωρ τοῦ Ιορ-
δάνου θείᾳ προστάξει, καὶ διέβη ἡ κιβωτὸς τοῦ
κυρίου καὶ πᾶς ὁ λαός. πῶς οὖν ἡμεῖς οὐκ
εἰκονογραφοῦμεν τὰ σωτήρια πάθη καὶ θαύ-
ματα χριστοῦ τοῦ θεοῦ, ἵνα ὅταν ἐρωτᾷ με
ὁ υἱός μου, τί ταῦτα ἐστιν; εἴπω ὅτι ὁ θεὸς λό-
γος, ἄνθρωπος γέγονε. καὶ δι' αὐτοῦ, οὐχὶ
Ισραὴλ μόνος τὸν Ιορδάνην διῆλθεν, ἀλλ' ἡ
φύσις ἅπασα πρὸς τὴν ἀρχαίαν ἐπανῆλθε
μακαριότητα. δι' οὗ ἡ φύσις ἐκ τῶν κατωτά-

τῷ τῆς γῆς αὐτὴ λθεῖν ὑπεράνω πάσης ἀρχῆς,
καὶ ἐν αὐτῷ τῷ πατρικῷ κεκάθηκε θρόνῳ.
ἀλλὰ φησί, ποίει χριστοῦ εἰκόνα, καὶ ἀρκέ-
σθητι, ἢ τῆς τούτου μητρὸς τῆς θεοτόκου. ὢ
τῆς ἀτοπίας. ἐχθρὸν σεαυτὸν διαρρήδην τῶν
ἁγίων καθωμολόγηκας. εἰ γὰρ χριστοῦ μὲν εἰ-
κόνα ποιεῖς, τῶν δὲ ἁγίων οὐδαμῶς, δῆλος
ὡς οὐχὶ τὴν εἰκόνα ἀπαγορεύεις, ἀλλὰ τὴν
τῶν ἁγίων τιμήν. τοῦ χριστοῦ γὰρ ὡς δεδοξασ-
μένου ποιεῖς εἰκόνας, τῶν δὲ ἁγίων ὡς ἀδοξά-
στων, ἀποποιεῖς τὸ ἀπεικόνισμα καὶ ψευδῆ τὴν
ἀλήθειαν ἀποκαλεῖς. ζῶ γὰρ ἐγὼ λέγει κύ- α. βασ.
ριος, ἀλλ᾽ ἢ τοὺς δοξάζοντάς με δοξάσω. καὶ ὁ β'.
θεῖος ἀπόστολος, ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ Γαλ. δ.
υἱός. εἰ δὲ υἱός, καὶ κληρονόμος θεοῦ διὰ χρι-
στοῦ. καί, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδο- Ρωμ. η.
ξασθῶμεν. οὐ κατὰ τῶν εἰκόνων ἤρω τὸν πόλε-
μον, ἀλλὰ κατὰ τῶν ἁγίων. φησὶ γὰρ Ἰωάν- α. Ἰωάν.
νης ὁ θεολόγος καὶ ἐπιστήθιος, ὅτι ὅμοιοι αὐ- β'.
τῷ ἐσόμεθα. ὥσπερ ὁ τῷ πυρὶ ἑνούμενος, οὐ
τῇ φύσει, ἀλλὰ τῇ ἑνώσει καὶ πυρώσει καὶ με-
θέξει πῦρ γίνεται, οὕτω καὶ τὴν σάρκα φη-
μὶ τοῦ σαρκωθέντος υἱοῦ τοῦ θεοῦ. ἐκείνη γάρ,
τῇ καθ᾽ ὑπόστασιν μεθέξει τῆς θείας φύσεως,
ἀτρέπτως θεὸς ἐχρημάτισεν. οὐκ ἐνεργείᾳ
χρισθεῖσα θεοῦ, ὥσπερ τῶν προφητῶν ἕκα-

στς, παρουσία δὲ ὅλου τοῦ χρίοντος. ὅτι δὲ θεὸς καὶ θεοὶ οἱ ἅγιοι, ὁ θεὸς φησὶν, ἔστη ἐν
ψαλ. πα συναγωγῇ θεῶν. καὶ ὅτι ἵσταται θεὸς ἐν μέσῳ θεῶν τὰς ἀξίας διαιρεῶν, ὡς ἑρμηνεύων
φησὶν ὁ θεῖος Γρηγόριος. οἱ γὰρ ἅγιοι καὶ ζῶντες πεπληρωμένοι ἦσαν πνεύματος ἁγίου, καὶ πλευτησάντων αὐτῶν, ἡ χάρις τοῦ ἁγίου πνεύματος ἀνεκφοιτήτως ἔνεστι καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν ἐν τοῖς τάφοις καὶ τοῖς χαρακτῆρσι, καὶ ταῖς ἁγίαις εἰκόσιν αὐτῶν, οὐ κατ' οὐσίαν, ἀλλὰ χάριτι καὶ ἐνεργείᾳ. ὅτε
β. βασ. ζ δὲ τῷ Δαβὶδ ἐπηγγείλατο ὁ θεὸς οἰκοδομῆσαι αὐτῷ ναὸν διὰ τοῦ ἰδίου υἱοῦ, καὶ κατασκευάσαι οἶκον ἀναπαύσεως, τοῦτον Σολομὼν οἰκοδομῶν, ἐποίησε χερουβὶμ, ὥς φησιν ἡ βίβλος τῶν βασιλειῶν. καὶ περιέχει τὰ χερουβὶμ χρυσίῳ, καὶ πάντας τοὺς τοίχους κύκλῳ. καὶ κολαπτοῖς ἐνέγλυψε χερουβὶμ, καὶ φοίνικας τῷ ἐσωτέρῳ καὶ ἐξωτέρῳ. καὶ οὐκ εἶπεν ἐκ πλαγίων, ἀλλὰ κύκλῳ. καὶ βόας, καὶ λέοντας, καὶ ῥοίσκους. οὐ πολλῷ οὖν τιμιώτερον, πάντας τοὺς τοίχους οἴκου κυρίου κοσμῆσαι ἁγίων μορφαῖς καὶ εἰκονίσμασιν, ἤπερ ἀλόγων καὶ δένδρων; ποῦ ὁ διαγορεύων νόμος, οὐ ποιήσεις πᾶν ὁμοίωμα; ἀλλὰ σοφίας χύσιν δεξάμενος Σολομὼν, οὐρανὸν

εἰκονίζων, ἐποίησε χερουβὶμ, καὶ λεόντων καὶ βοῶν ὁμοιώματα, ὅσα δὲ ἀπαγορεύει ὁ νόμος. εἰ δὲ ἡμεῖς χριστὸν εἰκονίζοντες, καὶ ποιοῦμεν τὰ τῶν ἁγίων εἰκονίσματα, οἷκ ἄρα τὸ πάντως δυσσεβέστερον, ὅτι καὶ πνεύματος ἁγίου εἰσὶ πεπληρωμένα, ὥσπερ γὰρ τότε αἵματι ἡγίζετο ὁ λαός τε καὶ ὁ ναὸς, καὶ προβάτων δαμάλεως, οὕτω καὶ νῦν χριστοῦ αἵματι τοῦ μαρτυρήσαντος ἐπὶ ποντίου Πιλάτου, καὶ ἑαυτὸν ἀπαρχὴν τῶν μαρτύρων δείξαντος, ἔτι δὲ καὶ τῷ τῶν ἁγίων αἵματι, ἐφ' ὧν ἡ ἐκκλησία οἰκοδομεῖται. καὶ τότε μὲν, μορφαῖς τε καὶ ἐκτυπώμασιν ἀλόγων ὁ τοῦ θεοῦ οἶκος κατεκοσμεῖτο. νῦν δὲ, ἁγίων ἐμψύχοις καὶ λογικοῖς ναοὺς ἑαυτοὺς εἰς κατοικητήριον θεοῦ κατασκευακότων. ἰσοροῦμεν οὖν χριστὸν τὸν βασιλέα καὶ κύριον, οὐ γυμνοῦντες αὐτὸν τοῦ στρατεύματος, στρατὸς γὰρ τοῦ κυρίου οἱ ἅγιοι. γυμνωσάτω ἑαυτὸν τοῦ οἰκείου στρατεύματος ὁ ἐπίγειος βασιλεὺς, καὶ τότε τὸν ἑαυτοῦ βασιλέα καὶ κύριον. ἀποθέσθω τὴν ἁλουργίδα, καὶ τότε τῶν κατὰ τοῦ τυράννου ἀριστευσάντων καὶ βασιλευσάντων τῶν παθῶν, τὸ σέβας περιαιρείτω. εἰ γὰρ κληρονόμοι θεοῦ, καὶ συγκληρονόμοι χριστοῦ, καὶ τῆς θείας δόξης καὶ βασιλείας κοινωνοὶ ἔσον- Λευϊ. ιθ

ται. τῶν παθημάτων χριστοῦ κοινωνήσαντες,
πῶς οὐχὶ καὶ τῆς ἐπὶ γῆς δόξης συμμέτοχοι
χρήματίσουσιν οἱ φίλοι χριστοῦ, οὐ λέγω ὑμᾶς
Ιωάν. ιε. δούλους φησὶν ὁ θεός, ὑμεῖς φίλοι μου ἐστέ.
τῆς οὖν δεδομένης αὐτοῖς παρὰ τῆς ἐκκλησίας
σίας τιμῆς, ἀποστερήσωμεν αὐτούς; ὢ θρασείας
σείας χειρός. ὢ τολμηρᾶς γνώμης. ἀντιπραττούσης
ξούσης θεῷ, καὶ τοῖς αὐτοῦ ἀντιπραττούσης
προστάγμασιν. οὐ προσκυνεῖς εἰκόνι, μηδὲ τῷ
υἱῷ τοῦ θεοῦ προσκύνει, ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου
ράτου θεοῦ ζῶσα, καὶ χαρακτὴρ ἀπαράλλακτος.
κτος. προσκυνῶ χριστοῦ εἰκόνι, ὡς σεσαρκωμένου
μένου θεοῦ. τῆς δεσποίνης τῶν ἁπάντων τῆς
θεοτόκου, οἷα μητρὸς τοῦ υἱοῦ τοῦ θεοῦ. τῶν
ἁγίων, ὡς φίλων θεοῦ, τῶν μέχρις αἵματος
ἀντικαταστάντων πρὸς τὴν ἁμαρτίαν, καὶ
χριστὸν μιμησαμένων τῇ ὑπὲρ αὐτοῦ ἐκχύσει
σει τοῦ αἵματος, τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ
αὐτῶν προεκχέαντος. καὶ τῶν κατ' ἴχνος αὐτοῦ
τοῦ πολιτευσαμένων, τούτων τὰς ἀριστείας
καὶ τὰ πάθη, ἀναχαράττω καθίστημι, ὡς
δι' αὐτῶν ἁγιαζόμενος, καὶ πρὸς ζῆλον μιμήσεως
πρὸς μήσεως ἀλειφόμενος. ἡ γὰρ τῆς εἰκόνος τιμή,
ἀμφιλ. πρὸς τὸ πρωτότυπον διαβαίνει φησὶν ὁ θεῖος
κεφ. ιη΄. Βασίλειος. εἰ ναοὺς ἐγείρεις ἁγίοις θεοῦ, καὶ
τὰ τούτων ἔγειρε τρόπαια. οὐκ ἐγείρω πά

λαι ναὸς ἐπ' ἀνθρώπων ὀνόματι. οὐχ' ἑορ-
τάζεται τῶν δικαίων ὁ θάνατος, ἀλλ' ἐπενθεῖ-
το. καὶ ὁ ἀπτόμενος νεκροῦ, ἀκάθαρτος ἀριθ. ι θ
ἐλογίζετο, καὶ Μωϋσέος αὐτοῦ. νῦν δέ, τῶν
ἁγίων ἑορτάζεται τὰ μνημόσυνα. ἐπενθή-
θη ὁ νεκρὸς τοῦ Ἰακώβ, ἀλλ' ὁ Στεφάνου πα- γεν. ν'
νηγυρίζεται θάνατος. ἢ τοίνυν καὶ τὰς πα
νηγυρικὰς μνήμας τῶν ἁγίων ἄνελε, παρὰ
τὸν παλαιὸν νόμον ἀγομένας, ἢ καὶ τὰς εἰ-
κόνας, παρὰ τὸν νόμον ὡς σὺ φῂς οὔσας, συγ
χώρησον. ἀλλ' ἀμήχανον μὴ ἑορτάζειν τὰ τῶν
ἁγίων μνημόσυνα, ὁ γὰρ τῶν ἁγίων ἀποστό-
λων καὶ θεοφόρων πατέρων χορὸς, ταῦτα
προστάττει γίνεσθαι. ἀφ' οὗ γὰρ ὁ θεὸς λόγος
σὰρξ ἐγένετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα
χωρὶς ἁμαρτίας, καὶ ἀσυγχύτως ἐκράθη
πρὸς τὸ ἡμέτερον, καὶ ἀμεταβλήτως τὴν σάρ
κα ἐθέωσε, διὰ τῆς ἐν ἀλλήλαις τῆς αὐτοῦ
θεότητος, καὶ τῆς αὐτοῦ σαρκὸς ἀσυγχύτου
περιχωρήσεως, ὄντως ἡγιάσμεθα. καὶ ἀφ' οὗ
ὁ υἱὸς τοῦ θεοῦ καὶ θεὸς, ὁ ἀπαθὴς ὢν τῇ θεό
τητι, τῷ προσλήμματι πέπονθε, καὶ τὸ ἡμέ
τερον ἀπέτισεν ὄφλημα, λύτρον ἐκχέας ὑ-
πὲρ ἡμῶν ἀξιόχρεών τε καὶ ἀξιάγαστον, δν
σωτηρικὸν γὰρ πατρὶ καὶ αἰδέσιμον αἷμα υἱοῦ,
ὄντως ἠλευθερώμεθα. καὶ ἀφ' οὗ κατελθὼν

εἰς ᾅδην, ταῖς ἀπ' αἰῶνος πεπεδημέναις ψυ-
χαῖς, ὡς αἰχμαλώτοις ἐκήρυξεν ἄφεσιν, ὡς
τυφλοῖς ἀνάβλεψιν. καὶ δήσας τὸν ἰσχυρόν,
τῷ ὑπερέχοντι τῆς δυνάμεως ἀνέστη, καὶ ἐξ
ἡμῶν αὐτῷ προσληφθεῖσαν ἀφθαρτίσας σαρ-
κίον, οὕτως ἠφθαρτίσμεθα. ἀφ' οὗ τε δι' ὕδα-
τος καὶ πνεύματος γεγεννήμεθα, οὕτως υἱο-
θετήμεθα, καὶ κληρονόμοι θεοῦ γεγενήμε-
Εφεσ. ε. θα. ἐντεῦθεν τοὺς πιστοὺς, ἁγίους ὁ Παῦλος
καλεῖ. ἐντεῦθεν τὸν τῶν ἁγίων οὐ πενθοῦ-
Ρωμ. ς'. μεν, ἀλλ' ἑορτάζομεν θάνατον. ἐντεῦθεν
Ρωμ. γ. οὐχ ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν ἐσμέν, δι-
ε'. καιωθέντες διὰ τῆς πίστεως, καὶ θεὸν μόνον
α. Τιμ. α εἰδότες τὸν ἀληθινόν. δικαίῳ δὲ νόμος οὐ
κεῖται. οὐχ ὑπὸ τὰ στοιχεῖα τοῦ νόμου ἐσμὲν
δεδουλωμένοι ὡς νήπιοι, ἀλλ' εἰς ἄνδρα κα-
ταρτισθέντες τέλειον, στερεὰν τροφὴν τρεφό-
μεθα, οὐ τὴν πρὸς εἰδωλολατρείαν. καλὸς ὁ
νόμος, ὡς λύχνος φαίνων ἐν αὐχμηρῷ τόπῳ,
β. πετ. α ἀλλ' ἕως οὗ ἡμέρα διαυγάσῃ. ἤδη δὲ ἀνέτει-
λε φωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ὕ-
δωρ ζῶν τῆς θεογνωσίας, θαλάσσας ἐθνῶν
ἐπεκάλυψε, καὶ πάντες τὸν κύριον ἔγνωμεν.
παρῆλθε τὰ παλαιά, ἰδοὺ γέγονε τὰ πάν-
τα καινά. φησὶ γοῦν ὁ θεῖος ἀπόστολος Παῦ-
Γαλ. β' λος πρὸς Πέτρον, τὴν κορυφαίαν ἀκρότητα

τοῦ ἀποστόλου, εἰ σὺ ἰουδαῖος ὢν ἐθνικῶς ζῇς,
καὶ οὐκ ἰουδαϊκῶς, πῶς τὰ ἔθνη ἀναγκά-
ζεις ἰουδαΐζειν; καὶ πρὸς Γαλάτας γρά- Γαλ. ε.
φει· μαρτύρομαι παντὶ ἀνθρώπῳ περι-
τεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νό-
μον πληρῶσαι. πάλαι μὲν οὖν μὴ εἰδότες
θεὸν, ἐδουλεύετε τοῖς μὴ φύσει οὖσι θεοῖς,
νῦν δὲ γνόντες θεὸν, μᾶλλον δὲ γνωσθέν-
τες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφομεν πάλιν
ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα; εἶδον
εἶδος θεοῦ τὸ ἀνθρώπινον, καὶ ἐσώθη μου ἡ
ψυχή. θεωρῶ εἰκόνα θεοῦ ὡς εἶδεν Ἰακὼβ, γεν. λβ
εἰ καὶ ἄλλως καὶ ἄλλως. ἐκεῖνος μὲν γὰρ,
ἄϋλον, τὸ ἐσόμενον προμηνύουσαν, ἀΰλοις
νοὸς ὀφθαλμοῖς. ἐγὼ δὲ τοῦ σαρκὶ ὁραθέν-
τος, μνήμης ἐμπύρευμα. ἡ τοῦ ἀποστόλου
σκιὰ, τὰ σουδάριά τε καὶ σιμικίνθια, νόσους
ἀπήλαυνε, δαίμονας ἐφυγάδευε. καὶ πῶς
ἡ σκιὰ καὶ εἰκὼν τῶν ἁγίων οὐ δοξασθήσεται;
ἢ πάσης ὕλης προσκύνησιν ἄνελε, ἢ μὴ και-
νοτόμει, μηδὲ μέταιρε ὅρια αἰώνια, ἃ ἔ-
θεντο οἱ πατέρες σου. οὐ μόνον γράμμασι
τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν παρέδωκαν,
ἀλλὰ καὶ ἀγράφοις τισὶ παραδόσεσι. φησὶ
γοῦν ὁ θεῖος Βασίλειος ἐν εἰκοστῷ ἑβδόμῳ τῶν
πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος

τριάκοντα κεφαλαίων, ὧδε λέξεως, οὕτως. Τῶν ἐν τῇ ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν, ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν. τὰ δὲ, ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα. ἅπερ ἀμφότερα, τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὔκουν, ὅστις γε κἂν μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ εὐαγγέλιον. ταῦτα τοῦ μεγάλου Βασιλείου τὰ ῥήματα. πόθεν γὰρ ἴσμεν τὸν κρανίου τόπον ἅγιον; τὸ μνῆμα τῆς ζωῆς; οὐ παῖδες παρὰ πατρὸς ἀγράφως παρειλήφαμεν; τὸ μὲν γὰρ ἐν τόπῳ κρανίου ἐσταυρῶσθαι τὸν κύριον, γέγραπται. καὶ τεθάφθαι ἐν μνημείῳ, ὃ ἐλατόμησεν Ἰωσὴφ ἐν τῇ πέτρᾳ. ὅτι δὲ ταῦτα ἐστὶ τὰ νῦν προσκυνούμενα, ἐξ ἀγράφου παραδόσεως ἴσμεν. καὶ πλεῖστα τούτοις παρόμοια. πόθεν τὸ τρὶς βαπτίζειν; πόθεν τὸ κατ' ἀνατολὰς εὔχεσθαι; πόθεν ἡ τῶν μυστηρίων παράδοσις; διὸ
β. Θεσ. καὶ ὁ θεῖος ἀπόστολος Παῦλος φησίν. ἄρα οὖν
β'. ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδό-

σειο ἅς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. πολλῶν τοιγαροῦν καὶ τοσούτων ἀγράφως τῇ ἐκκλησίᾳ παραδεδομένων, καὶ μέχρι τοῦ νῦν πεφυλαγμένων, τί περὶ τὰς εἰκόνας σμικρολογεῖς; ἅς μέντοι χρήσεις παράγεις, οὐ τὰς παρ' ἡμῖν εἰκόνας βδελύσσονται τὴν προσκύνησιν, ἀλλὰ τὰς ταύτας θεοποιούντων ἑλλήνων. οὐ δεῖ τοίνυν διὰ τὴν τῶν ἑλλήνων ἄτοπον χρῆσιν, καὶ τὴν ἡμετέραν εὐσεβῶς γινομένην, αἰρεῖν. ἐφορκίζουσιν ἐπαοιδοί τε καὶ γόητες, ἐφορκίζει καὶ τοὺς κατηχουμένους ἡ ἐκκλησία. ἀλλ' ἐκεῖνοι μὲν, ἐπικαλούμενοι δαίμονας. αὕτη δὲ, θεὸν κατὰ δαιμόνων. δαίμοσι τὰς εἰκόνας αἱ ἕλληνες ἀνατιθέασι, καὶ θεοὺς ταύτας προσαγορεύουσιν. ἡμεῖς δὲ, ἀληθεῖ θεῷ σαρκωθέντι, καὶ θεοῦ δούλοις καὶ φίλοις, δαιμόνων ἀπελαύνουσι στίφη. εἰ δὲ φὴς ἔνθεον καὶ θαυμαστὸν Επιφάνιον, διαῤῥήδην ταύτας ἀπαγορεύσαι, πρῶτον μὲν τυχὸν παρεγγεγραμμένος καὶ ἐπίπλαστος ὁ λόγος, ἄλλου μὲν ὢν ποῖος, ἑτέρου δὲ τὴν ἐπωνυμίαν ἔχων, ὃ πολλοῖς εἴθισται δρᾶν. δεύτερον, ἴσμεν τὸν μακάριον Αθανάσιον, ἀπηγορευκότα τὸ ἐν λάρναξι τιθέναι τὰ τῶν ἁγίων λείψανα, μᾶλλον δὲ προστάττοντα ὑπὸ γῆν ταῦ-

τα καλύπτειν, τὸ ἄτοπον ἔθος τῶν αἰγυ-
πτίων καταργῆσαι βουλόμενον, οἳ τοὺς ἑαυ-
τῶν νεκροὺς, οὐχ ὑπὸ γῆν ἔκρυπτον, ἀλλ' ἐπὶ
κλινιδίων καὶ σκιμποδίων ἐτίθεσαν. τάχα τοιοῦ-
τόν τι καὶ ὁ μέγας Ἐπιφάνιος ἐπιδιορθώσασ-
θαι θέλων, τὸ μὴ χρῆναι ποιεῖν εἰκόνας εἰσ-
μοθέτησεν, εἴγε καὶ αὐτοῦ δῶμεν εἶναι τὸν
λόγον. ἐπεὶ, ὅτι γε ὁ τούτου σκοπὸς ταύτας
οὐκ ἀπετίθετο, μάρτυς ἡ τοῦ αὐτοῦ θείου Ἐπι-
φανίου ἐκκλησία, εἰκόσι μέχρις ἡμῶν περικε-
κοσμημένη. τρίτον, οὐ τὸ σπάνιον νόμος τῇ
ἐκκλησίᾳ, οὐδὲ μία χελιδὼν ἔαρ ποιεῖ, ὡς καὶ
τῷ θεολόγῳ Γρηγορίῳ, καὶ τῇ ἀληθείᾳ δοκεῖ.
οὐδὲ λόγος εἷς δύναται τὸ ὅλης ἐκκλησίας τῆς
ἀπὸ γῆς περάτων, μέχρι τῶν αὐτῆς περά-
των, ἀναζεῦξαι παράδοσιν. δέχου τοίνυν τῶν
ψαλμ. γραφικῶν καὶ πνευματικῶν χρήσεων τὸν ἐσ-
ριγ΄. μὸν, ὅτι εἰ καὶ λέγει ἡ γραφὴ, τὰ εἴδωλα τῶν
ἐθνῶν ἀργύρεον καὶ χρυσίον, ἔργα χειρῶν ἀν-
θρώπων, ἀλλ' οὕτω, οὐ τὸ μὴ προσκυνεῖν ἀψύ-
χοις, ἢ ἔργοις χειρῶν κωλύει, ἀλλὰ ταῖς δαι-
μόνων εἰκόσιν. ὅτι μὲν οὖν ἀγγέλοις, καὶ ἀν-
θρώποις, καὶ βασιλεῦσι, καὶ ἀσεβέσι προσ-
κύνησαν οἱ προφῆται, καὶ ῥάβδῳ, εἴρηται.
ψαλ. ϙη. λέγει δὲ καὶ Δαβίδ. καὶ προσκυνεῖτε τῷ ὑπο-
Ησα. ξς΄. ποδίῳ τῶν ποδῶν αὐτοῦ. Ησαΐας δὲ ἐκπρο-

σώπου τοῦ θεοῦ. ὁ οὐρανός μοι θρόνος φησὶν,
ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν μου. οὐρανὸς
δὲ καὶ γῆ, παντί που δῆλον ὅτι κτίσματα.
καὶ Μωσῆς δὲ καὶ Ἀαρὼν σὺν παντὶ τῷ λαῷ,
χειροποιήτοις προσεκύνησαν. φησὶ γοῦν Παῦ
λος ὁ χρυσοῦς τέττιξ τῆς ἐκκλησίας, ἐν τῇ
πρὸς Ἑβραίους ἐπιστολῇ. χριστὸς δὲ παραγενό Ἑβρ. θ.
μενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν,
διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ
χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως.
Καὶ πάλιν. οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν Ἑβρ. θ'.
ἅγια ὁ χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν,
ἀλλ' εἰς τὸν οὐρανόν. ὥστε τὰ πρότερα ἅγια,
ἥ τε σκηνὴ, καὶ πάντα τὰ ἐν αὐτῇ, χειροποίη
τα ἦν. καὶ ὅτι προσεκυνεῖτο, οὐδεὶς ἀντερεῖ.

Τοῦ ἁγίου Διονυσίου τοῦ ἀρεοπαγίτου
ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς.

Χρὴ τοιγαροῦν καὶ ἡμᾶς, ἀντὶ τῆς δημώ
δους περὶ αὐτῶν ὑπολήψεως, εἴσω τῶν ἱε-
ρῶν συμβόλων ἱεροπρεπῶς διαλαβεῖν, καὶ
μηδὲ ἀτιμάζειν αὐτὰ, τῶν θείων ὄντα χαρα
κτήρων ἔκγονα καὶ ἀποτυπώματα, καὶ
εἰκόνας ἐμφανεῖς τῶν ἀρρήτων καὶ ὑπερ
φυῶν θεαμάτων. Ἰδὲ, ὡς ἔφη μὴ ἀτιμάζειν
τὰς τῶν τιμίων εἰκόνας.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ θείων ὀνομάτων.

Ταύτῃ καὶ ἡμεῖς μεμυήμεθα. νῦν μὲν, ἀναλόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων, τῆς τῶν λογίων καὶ ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας, αἰσθητοῖς τὰ νοητὰ, καὶ τοῖς οὖσι τὰ ὑπερούσια καλυπτούσης, καὶ μορφὰς καὶ τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ τὴν ὑπερφυᾶ καὶ ἀσχημάτιστον ἁπλότητα, τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων πληθυούσης τε καὶ διαπλαττούσης. Σχόλιον. εἰ φιλανθρωπίας ἐστὶ τὸ τοῖς ἀτυπώτοις καὶ ἀμορφώτοις, καὶ τοῖς ἁπλοῖς καὶ ἀσχηματίστοις, μορφὰς καὶ τύπους περιτιθέναι πρὸς τὴν ἡμετέραν ἀναλογίαν, πῶς τὰ μορφαῖς καὶ σχήμασιν ὁραθέντα, μὴ ἀναλόγως ἡμῖν εἰκονίσωμεν, πρὸς μνήμην, καὶ τὴν ἐκ τῆς μνήμης πρὸς ζῆλον κίνησιν;

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας.

Ἀλλ' αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τε εἰσὶ, καὶ νοητὴ καὶ ὑπερκόσμιος ἐστὶν ἡ κατ' αὐτὰς ἱεραρχία. τὴν καθ' ἡμᾶς δὲ ὁρῶμεν, ἀναλόγως ἡμῖν αὐτοῖς, τῇ τῶν αἰσθητῶν συμβόλων ποικιλίᾳ πληθυομένην,

ὑφ' ὧν

ὑφ' ὧν ἱεραρχικῶς ἐπὶ τὴν ἀνειδῆ θέωσιν ἐν συμμετρίᾳ τῇ καθ' ἡμᾶς ἀναγόμεθα, θεόν τε καὶ θείαν ἀρετήν, αἱ μὲν ὡς νόες νοοῦσι κατὰ τὸ αὐτοῖς θεμιτόν, ἡμεῖς δὲ αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας ὡς δυνατὸν ἀναγόμεθα θεωρίας. εἰ τοίνυν ἀναλόγως ἡμῖν αὐτοῖς, αἰσθηταῖς εἰκόσιν ἐπὶ τὴν θείαν καὶ ἄϋλον ἀναγόμεθα θεωρίαν, καὶ φιλανθρώπως ἡ θεία πρόνοια τοῖς ἀσχηματίστοις καὶ ἀτυπώτοις, τύπους καὶ σχήματα τῆς ἡμῶν ἕνεκεν χειραγωγίας περιτίθησι, ἢ ἀπρεπὲς τὸν σχήματι καὶ μορφῇ ὑποκύψαντα φιλανθρώπως δι' ἡμᾶς, εἰκονίζειν ἀναλόγως ἡμῖν αὐτοῖς; Λόγος ἄνωθεν εἰς ἡμᾶς παραδεδομένος κάτεισιν, Αὔγαρον τὸν ἐδέσσης ἄνακτα φημί, τῇ τοῦ κυρίου πρὸς θεῖον ἐκπυρσευθέντα ἔρωτα ἀκοῇ, ἀπεσταλκέναι πρέσβεις, τὴν αὐτοῦ ἐπίσκεψιν ἐξαιτοῦντας. εἰ δὲ ἀρνηθείη τοῦτο δράσειν, τὸ τούτου κατ' εἶδος ὁμοίωμα ζωγράφῳ ἐκμάξασθαι. ὃ γνόντα τὸν πάντα εἰδότα, καὶ πάντα δυνάμενον, τὸ ῥάκος εἰληφέναι, καὶ τῷ προσώπῳ προσανενεγκάμενον, ἐν τούτῳ τὸν οἰκεῖον ἐναπομάξασθαι χαρακτῆρα, ὃ καὶ μέχρι τοῦ νῦν σώζεται.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν μακάριον Βαρλαὰμ τὸν μάρτυρα λόγου, οὗ ἡ ἀρχ[ή]

χή. πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι.

Ἀνάστητέ μοι νῦν ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα, ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα, τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ. χαίρω τὴν τοιαύτην τῆς ὑμετέρας ἰσχύος σήμερον ἡττώμενος νίκην. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην. ἴδω φαιδρότερον ὑπὸ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες καὶ νῦν, ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι. φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ, καὶ νικῶσα δεικνύσθω. ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης χριστὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίων περὶ τοῦ ἁγίου πνεύματος, ἀπὸ κεφαλαίου, ιη'.

Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς, οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται. ὡς

γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία, μία, καὶ οὐ πολλαί, διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ὅ ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς ὁ υἱός. καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτω καὶ ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως, ἐν τῇ κοινωνίᾳ τῆς θεότητός ἐστιν ἡ ἕνωσις. εἰ ἡ εἰκὼν τοῦ βασιλέως, βασιλεύς, καὶ ἡ εἰκὼν τοῦ χριστοῦ, χριστός, καὶ ἡ εἰκὼν τοῦ ἁγίου, ἅγιος. καὶ οὔτε τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται, ἀλλ' ἡ δόξα τῆς εἰκόνος, τοῦ εἰκονιζομένου γίνεται. δεδοίκασι τοὺς ἁγίους οἱ δαίμονες, καὶ τὴν σκιὰν αὐτῶν δραπετεύουσι, σκιὰ δὲ καὶ ἡ εἰκὼν, καὶ ταύτην ποιῶ, ὡς δαιμόνων ἐλάτειραν. εἰ δὲ χρῆναι λέγεις νοερῶς μόνον θεῷ συνάπτεσθαι, ἄνελε πάντα τὰ σωματικά. τὰ φῶτα. τὸ εὐῶδες θυμίαμα. αὐτὴν τὴν διὰ φωνῆς προσευχήν. αὐτὰ τὰ ἐξ ὕλης τελούμενα θεῖα μυστήρια. τὸν ἄρτον. τὸν οἶνον. τὸ τῆς χρίσεως ἔλαιον. τοῦ σταυροῦ τὸ ἐκτύπωμα. ταῦτα γὰρ πάντα ὕλη. ὁ τῆς σταυρώσεως σπόγγος, καὶ κάλαμος. ἡ τὴν ζωηφόρον πλευρὰν νύξασα λόγχη. ἢ τούτων ἁπάντων ἄνελε τὸ σέβας, ὅπερ ἀδύνατον,

ἢ μὴ ἀπαναίνου μὴ δὲ τὴν τῶν εἰκόνων τιμήν; χάρις δίδοται θεία ταῖς ὕλαις διὰ τῆς τῶν εἰκονιζομένων προσηγορίας. ὥσπερ λιτὸν ἡ κογχύλη καθ' ἑαυτὴν καὶ ἡ μέταξα καὶ τὸ ἐξ ἀμφοῖν ἐξυφασμένον ἱμάτιον, ἂν δὲ βασιλεὺς τοῦτο περιθῆται, ἐκ τῆς προσούσης τῷ ἠμφιεσμένῳ τιμῆς, τῷ ἀμφιάσματι μεταδίδοται, οὕτως αἱ ὕλαι, αὐταὶ μὲν καθ' ἑαυτὰς, ἀπροσκύνητοι, ἂν δὲ χάριτος εἴη πλήρης ὁ εἰκονιζόμενος, μέτοχοι χάριτος γίνονται κατ' ἀναλογίαν τῆς πίστεως. εἶδον οἱ ἀπόστολοι τὸν κύριον σωματικοῖς ὀφθαλμοῖς. καὶ τοὺς ἀποστόλους, ἕτεροι. καὶ τοὺς μάρτυρας, ἕτεροι. ποθῶ κἀγὼ τούτους ὁρᾶν ψυχῇ τε καὶ σώματι, καὶ ἔχειν ἀλεξίκακον φάρμακον, ἐπεὶ διπλοῦς ἔκτισμαι. καὶ ὁρῶν, προσκυνῶ τὸ ὁρώμενον, οὐχ ὡς θεὸν, ἀλλ' ὡς τιμίων εἰκόνισμα τίμιον. σὺ μὲν, ὡς τυχὸν ὑψηλός τε καὶ ἄϋλος καὶ ὑπὲρ τὸ σῶμα γενόμενος καὶ οἷον ἄσαρκος, καταπτύεις πᾶν τὸ ὁρώμενον. ἀλλ' ἐγὼ, ἐπεὶ ἄνθρωπός εἰμι, καὶ σῶμα περίκειμαι, ποθῶ καὶ σωματικῶς ὁμιλεῖν, καὶ ὁρᾶν τὰ ἅγια. συγκατάβηθι τῷ ταπεινῷ μου φρονήματι ὁ ὑψηλὸς, ἵνα σου τηρήσῃς τὸ ὑψηλόν. ἀποδέχεται κύριος τὸν πρὸς αὐτόν μου πόθον, καὶ τοὺς οἰκείους αὐτοῦ. χαίρει γὰρ

δεσπότης ἐγκωμιαζομένου δούλου εὐγνώμονος, ὁ μέγας ἔφη Βασίλειος, ἐγκωμιάζων τοὺς τεσσαράκοντα μάρτυρας. Ἄθρει δὲ οἷα καὶ Γόρδιον τὸν ἀοίδιμον γεραίρων φησίν.

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς Γόρδιον τὸν μάρτυρα λόγου.

Εὐφραίνονται λαοὶ εὐφροσύνην πνευματικὴν ἐπὶ μόνῃ τῇ ὑπομνήσει τῶν τοῖς δικαίοις κατωρθωμένων, εἰς ζῆλον καὶ μίμησιν τῶν ἀγαθῶν, ἀφ᾽ ὧν ἀκούουσιν, ἐναγόμενοι. Ἡ γὰρ τῶν εὐπολιτευσάντων ἀνδρῶν ἱστορία, οἷόν τι φῶς τοῖς σωζομένοις πρὸς τὴν τοῦ βίου ὁδὸν ἐμποιεῖ. Καὶ πάλιν. ὥστε, ὅταν διηγώμεθα τοὺς βίους τῶν διαπρεψάντων ἐν εὐσεβείᾳ, δοξάζομεν πρῶτον τὸν δεσπότην διὰ τῶν δούλων, ἐγκωμιάζομεν δὲ τοὺς δικαίους, διὰ τῆς μαρτυρίας ὧν ἴσμεν. εὐφραίνομεν δὲ τοὺς λαούς, διὰ τῆς ἀκοῆς τῶν καλῶν. Ὅρα, ὡς θεοῦ μέν, δόξαν· τῶν δὲ ἁγίων, ἐγκώμιον· τῶν δὲ λαῶν, εὐφροσύνην καὶ σωτηρίαν ἡ μνήμη τῶν ἁγίων συνίστησι. τί οὖν ταύτην ἀφαιρεῖς; ὅτι δὲ διὰ λόγου καὶ εἰκόνων ἡ μνήμη γίνεται, φησὶν ὁ αὐτὸς θεῖος Βασίλειος.

Τοῦ αὐτοῦ ἁγίου εἰς τὸν Γόρδιον τὸν μάρτυρα.

Ὥσπερ γὰρ τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ

φωτίζειν, καὶ τῷ μύρῳ τὸ εὐῶδες, οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον. καίτοι οὐδὲ τοῦτο μικρὸν, ἀκριβῶς τυχεῖν τῆς ἀληθείας τῶν τότε· ἀμυδρὰ γάρ τις μνήμη εἰς ἡμᾶς διεδόθη, τὰς ἀθλήσεις τῶν ἀγώνων ἀνδραγαθίας τοῦ ἀνδρὸς διασώζουσα. καίτοι δοκεῖ τὰ καθ' ἡμᾶς, τοῖς τῶν ζωγράφων προσεοικέναι. καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν ἐξ εἰκόνων μεταγράφωσι τὰς εἰκόνας, πλεῖστον ὡς εἰκὸς τῶν ἀρχετύπων ἀπολιμπάνονται. καὶ ἡμᾶς, αὐτῆς τῆς θέας τῶν πραγμάτων ἀπολειφθέντας, κίνδυνος οὐ μικρὸς τὴν ἀλήθειαν ἐλαττῶσαι.

Ἐπὶ τέλει τοῦ αὐτοῦ λόγου.

Ὡς γὰρ τὸν ἥλιον ἀεὶ ὁρῶντες, ἀεὶ θαυμάζομεν, οὕτω καὶ τοῦ ἀνδρὸς ἐκείνου ἀεὶ νεαρὰν τὴν μνήμην ἔχομεν. Δῆλον, ὡς ἀεὶ καθορῶντες, διά τε λόγων καὶ εἰκονισμάτων.

Καὶ ἐν τῷ λόγῳ δὲ τῷ εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας, ταῦτα φησίν.

Μαρτύρων δὲ μνήμης, τίς ἂν γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας. Καὶ πάλιν. μακάρισον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει, καὶ ἐκβῇς, χωρὶς διω-

γμοῦ, χωρὶς πυρὸς, χωρὶς μαςίγων, τῆς αὐτῶν ἐκείνοις ἐπαίνων ἠξιωμένος. Σχόλιον.

Πῶς οὖν με ἀπείργεις τῆς τῶν ἁγίων τιμῆς, καὶ φθονεῖς μοι τῆς σωτηρίας; Ὅτι δὲ συνεζευγμένην οἶδε τῷ λόγῳ τὴν διὰ τῶν χρωμάτων μορφὴν, ἄκουε αὐτοῦ μετ' ὀλίγα φάσκοντος. Βασιλείου.

Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτὸν ἀγαγόντες, διὰ τῆς ὑπομνήσεως, κοινὴν τὴν ἀπ' αὐτοῦ ὠφέλειαν τοῖς παροῦσι κατασκευώμεθα, προδείξαντες πᾶσιν ὥσπερ ἐν γραφῇ τὰς τοῦ ἀνδρὸς ἀριστείας. Σχόλιον.

Ὁρᾷς, ὡς ἓν εἰκόνος καὶ λόγου τὸ ἔργον; ὡς ἐν γραφῇ γράφησι προδείξομεν τῷ λόγῳ. Πάλιν ἐχόμενα τοῦ λόγου. Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα, καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράσσοντες, καὶ πολλοὺς ἐπήγειραν εἰς ἀνδρείαν ἑκάτεροι, ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. Σχόλιον.

Τί τούτων τηλαυγέστερον πρὸς ἀπόδειξιν; ὅτι βίβλοι τοῖς ἀγραμμάτοις αἱ εἰκόνες, καὶ τῆς τῶν ἁγίων τιμῆς ἀσίγητοι κήρυκες, ἐν ἀήχῳ φωνῇ τοὺς ὁρῶντας διδάσκουσαι, καὶ τὴν

ὄρασιν ἁγιάζουσαι. οὐκ οὖν παρῶ βίβλους, οὐ σχολῇ ἄνω πρὸς τὴν ἀνάγνωσιν, εἴσειμι εἰς τὸ κοινὸν τῶν ψυχῶν ἰατρεῖον, τὴν ἐκκλησίαν, ὥσπερ ἀκάνθαις τοῖς λογισμοῖς συμπνιγόμενος. ἕλκει με πρὸς θέαν, τῆς γραφῆς τὸ ἄνθος, καὶ ὡς λειμὼν τέρπει τὴν ὄρασιν, καὶ λεληθότως ἐναφίησι τῇ ψυχῇ δόξαν θεοῦ. τεθέαμαι τὴν καρτερίαν τοῦ μάρτυρος, τῆς στεφάνων τὴν ἀντάποδοσιν, καὶ ὡς πυρὶ πρὸς ζῆλον ἐξάπτομαι τῇ προθυμίᾳ, καὶ πίπτων προσκυνῶ τῷ θεῷ διὰ τοῦ μάρτυρος, καὶ λαμβάνω τὴν σωτηρίαν. Οὐκ ἀκήκοας τοῦ αὐτοῦ θεοφόρου πατρὸς, λέγοντος ἐν τῷ εἰς τὴν ἀρχὴν τῶν ψαλμῶν λόγῳ, ὅτι γινώσκον τὸ πνεῦμα τὸ ἅγιον, ὅτι δυσάγωγον καὶ ῥάθυμον τὸ γένος τῶν ἀνθρώπων, τὸ μέλος ταῖς ψαλμῳδίαις ἐγκατέμιξε; τί φής; οὐ γραφῶ καὶ λόγῳ καὶ χρώμασι τὸ τῶν μαρτύρων μαρτύριον; καὶ ὀφθαλμοῖς καὶ χείλεσι περιπτύξο-

Βασ. ἐκ τοῦ εἰς Γόρδι. λόγου

μαι τὸ θαυμαστὸν καὶ ἀγγέλοις καὶ πάσῃ τῇ κτίσει, ὀδυνηρὸν δὲ τῷ διαβόλῳ, καὶ φοβερὸν δαίμοσιν, ὡς αὐτὸς ὁ φωστὴρ τῆς ἐκκλησίας ἔφησεν; οἷα δέ φησι πρὸς τῷ τέλει τοῦ λόγου, ἐγκωμιάζων τοὺς τεσσαράκοντα μάρτυρας. ὦ χορὸς ἅγιος. ὦ σύστημα ἱερόν. ὦ συνασπισμὸς ἄρραγής. ὦ κοινοὶ φύλακες τοῦ

γένοισ τῶν ἀνθρώπων. ἀγαθοὶ κοινωνοὶ φρον τίδων. θείων συμβουλοί. πρεσβυταὶ δυνα τώτατοι. ἀστέρες τῆς οἰκουμένης. αἵ δὲ τῆς ἐκκλησιῶν. ἐπῶ δὲ φημί, νοητά τε καὶ αἰσθη τά. ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρα νὸς ὑπεδέξατο. ἠνοίγησαν ὑμῖν παραδείσου πύλαι. ἄξιον θέαμα τῇ στρατιᾷ τῆς ἀγγέ λων. ἄξιον πατριάρχαις. προφήταις. δι καίοις. πῶς οὖν μὴ ποθήσω ἰδεῖν, ὃ ἰδεῖν ποθοῦσιν ἄγγελοι; Σαφῶς δὲ τούτοις καὶ ὁ τούτου ἀδελφὸς, καὶ ὁμογνώμων Γρηγό ριος, ὁ τῆς νυσσαέων ἐπίσκοπος, φησίν.

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσης, ἐκ τοῦ ἀναπληρωματικοῦ, τουτέστι περὶ κατασκευῆς ἀνθρώπου. κεφαλαίου, δ΄.

Ὥσπερ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν, οἱ τὰς εἰκόνας τῶν κρατούντων κατασκευά ζοντες, τόν τε χαρακτῆρα τῆς μορφῆς ἀναμά σονται, καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέ γεται κατὰ τὴν συνήθειαν καὶ εἰκὼν καὶ βα σιλεὺς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο, οἷόν τις ἔμψυχος εἰκὼν ἀνεστάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας τοῦ ὀνόματος.

Τοῦ αὐτοῦ, ἐκ τοῦ πέμπτου κεφαλαίου τῆς αὐτῆς πραγματείας.

Τὸ δὲ θεῖον κάλλος, οὐ σχήματι τινὶ καὶ μορφῆς εὐμορφίᾳ διά τινος εὐχροίας ἐναγλαΐζεται, ἀλλ' ἐν ἀφράστῳ μακαριότητι κατ' ἀρετὴν θεωρεῖται. ὥσπερ τοίνυν τὰς ἀνθρωπίνας μορφὰς, διὰ χρωμάτων τινῶν ἐπὶ τοῦ πίνακος οἱ γραφεῖς μεταφόρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους βαφὰς ἐπαλείφοντες τῷ μιμήματι, ὡς ἂν διὰ ἀκριβείας τὸ ἀρχέτυπον κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα.

Ὅρα, ὡς τὸ μὲν θεῖον κάλλος, οὐ σχήματι τινὶ διά τινος εὐχροίας ἐναγλαΐζεται, καὶ διὰ τοῦτο οὐκ εἰκονίζεται, ἡ δὲ ἀνθρωπίνη μορφὴ, διὰ χρωμάτων ἐπὶ τοῦ πίνακος μεταφέρεται. εἰ τοίνυν ὁ υἱὸς τοῦ θεοῦ ἐν ἀνθρώπου μορφῇ γέγονε, μορφὴν δούλου λαβὼν, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γινόμενος, καὶ ἐν σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, πῶς οὐκ εἰκονισθήσεται; καὶ εἰ κατὰ συνήθειαν λέγεται ἡ τοῦ βασιλέως εἰκὼν, βασιλεὺς, καὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὥς φησιν ὁ θεῖος Βασίλειος, πῶς ἡ εἰκὼν οὐ τιμηθήσεται καὶ προσκυνηθήσεται; οὐχ ὡς θεὸς, ἀλλ' ὡς θεοῦ σεσαρκωμένου εἰκών;

Τοῦ αὐτοῦ, ἀπὸ λόγου ἐκθέντος ἐν κωνσταν-

ἔγνου πολλὰ ταῦτα θεότητος υἱοῦ καὶ πνεύματος, καὶ εἰς τὸν Ἀβραάμ.

Ἐνταῦθα δεσμοῖς πρότερον διαλαμβάνει ὁ πατὴρ τὸν παῖδα. εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ἀγούσης τὴν ἱστορίαν. πρόκειται ὁ Ἰσαὰκ παρ' αὐτῷ τῷ θυσιαστηρίῳ, ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιηγμένας ἔχων εἰς τοὐπίσω τὰς χεῖρας. ὁ δὲ, ἐπιβεβηκὼς κατόπιν τῷ παιδὶ τῆς ἀγκύλης, καὶ τῇ ἀριστερᾷ χειρὶ τὴν κόμην τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ, ἐλεεινὸν πρὸς αὐτὸν ἀναβλέποντι, καὶ τὴν δεξιὰν καθωπλισμένος τῷ ξίφει, πρὸς τὴν σφαγὴν κατευθύνει. καὶ ἅπτεται ἤδη τοῦ σώματος ἡ τοῦ ξίφους ἀκμὴ, καὶ τότε αὐτῷ γίνεται θεόθεν φωνὴ, τὸ ἔργον κωλύουσα.

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Καὶ πῶς εἰκὼν τοῦ δευτέρου τὸ πρῶτον, ὁ Μελχισεδὲκ τοῦ χριστοῦ, ὥσπερ ἄν τις εἴποι σκιὰ τῆς γραφῆς τῆς ἐν σώμασι, τὸ πρὸ ταύτης σκίασμα τοῦ γραφέως. διὰ τοῦτο γὰρ ὁ νόμος καλεῖται σκιὰ, καὶ ἡ χάρις ἀλήθεια, πράγματα δὲ, τὰ μέλλοντα.

ὥστε, ὁ μὲν νόμος καὶ ὁ Μελχισεδὲκ, προσκίασμα τῆς ἐν χρώμασι γραφῆς· ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια, ἡ ἐν σώματι γραφή· τὰ δὲ πράγματα, τοῦ μέλλοντος αἰῶνος· ὡς εἶναι τὴν παλαιὰν, τύπου τύπον· καὶ τὴν νέαν, τῶν πραγμάτων τύπον.

Λεοντίου νεαπόλεως κύπρου, ἐκ τοῦ κατὰ ἰουδαίων λόγου, περὶ τοῦ προσκυνεῖν τῷ σταυρῷ τοῦ χριστοῦ, καὶ ταῖς εἰκόσι τῶν ἁγίων, καὶ ἀλλήλοις, καὶ περὶ τῶν λειψάνων τῶν ἁγίων.

Ἐάν μοι ἐγκαλῇς πάλιν ὦ ἰουδαῖε, λέγων, ὅτι ὡς θεῷ προσκυνῶ τῷ ξύλῳ τοῦ σταυροῦ,
γεν. μζ' διατί οὐκ ἐγκαλεῖς τῷ Ιακὼβ, προσκυνήσαντι ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου; ἀλλὰ πρόδηλον, ὅτι οὐ τὸ ξύλον τιμῶν προσεκύνησεν, ἀλλὰ διὰ τοῦ ξύλου τῷ Ιωσὴφ προσεκύνησεν. ὥσπερ καὶ ἡμεῖς, διὰ τοῦ σταυροῦ, τὸν χριστὸν, ἀλλ᾽ οὐ τὸ ξύλον δοξάζομεν. εἰ οὖν τὸν τοῦ σταυροῦ τύπον προσκυνοῦμεν, εἰκόνα τοῦ σταυροῦ ποιοῦντες ἐξ οἱασοῦν ὕλης, πῶς τοῦ σταυρωθέντος εἰκόνι μὴ προσκυνήσωμεν;
Καὶ πάλιν τοῦ αὐτοῦ Λεοντίου. ἐπεὶ καὶ
γεν. κγ' Ἀβραὰμ τοῖς πωλήσασιν αὐτῷ τὸν τάφον ἀσεβέσιν ἀνθρώποις προσεκύνησε, καὶ γόνυ ἔκαμψεν ἐπὶ τὴν γῆν, ἀλλ᾽ οὐχ᾽ ὡς θεοῖς αὐ-

τοῖς προσεκύνησεν. Καὶ πάλιν. ὁ Ἰακὼβ τὸν γεν. μζ'
Φαραὼ ηὐλόγησεν, ἀσεβῆ καὶ εἰδωλολάτρην
ὄντα; ἀλλ' οὐχ' ὡς θεὸν αὐτὸν ηὐλόγησε.
Καὶ πάλιν. τὸν Ἡσαῦ πεσὼν προσεκύνησεν, γεν. λγ'
ἀλλ' οὐχ' ὡς θεὸν προσεκύνησεν. Καὶ πάλιν.
πῶς ἐντέλλεται ἡμῖν ὁ θεὸς, προσκυνεῖν καὶ
τῇ γῇ καὶ τοῖς ὄρεσι; Λέγει γάρ. Ὑψοῦτε ψαλ. ϙη.
κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄ-
ρος ἅγιον αὐτοῦ. καὶ προσκυνεῖτε τῷ ὑπο-
ποδίῳ τῶν ποδῶν αὐτοῦ ὅτι ἅγιός ἐστι, τουτ-
έστι τῇ γῇ. ὁ οὐρανός γάρ μοι θρόνος φησὶν, Ἡσα. ξϛ'.
ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν μου, λέγει
κύριος. πῶς δὲ Μωϋσῆς προσεκύνησεν Ἰοθὸρ, Ἐξοδ. ιη.
εἰδωλολάτρῃ ὄντι, καὶ Δανιὴλ Ναβουχοδονό-
σορ; πῶς ἐμοὶ ἐγκαλεῖς, ὅτι τιμῶ καὶ προσ-
κυνῶ τοὺς τὸν θεὸν τιμήσαντας καὶ προσκυνή-
σαντας; οὐ συμφέρει εἰπέ μοι προσκυνεῖν
τοῖς ἁγίοις, καὶ μὴ ὡς σὺ λιθοβολεῖν; οὐ συμ-
φέρει προσκυνεῖν, καὶ μὴ τούτους καταπρί-
ζειν, καὶ ἐν λάκκῳ βορβόρου τοὺς εὐεργέτας κα-
ταφέρειν; εἰ τὸν θεὸν ἠγάπησας, πάντως ἂν
καὶ τοὺς αὐτοῦ δούλους τιμᾶν ἔμελλες. καὶ εἰ
ἀκάθαρτα εἰσὶ τῶν δικαίων τὰ ὀστᾶ, πῶς
μετὰ τιμῆς πάσης μετεκομίσθησαν τὰ ὀστᾶ γεν. μ'.
τοῦ Ἰακὼβ καὶ Ἰωσὴφ ἐξ Αἰγύπτου; πῶς νε- Βασ. δ'.
κρὸς ἄνθρωπος, ἀψάμενος τῶν ὀστέων Ἐλισσαίου, ιγ'.

εὐθὺς ἀνέστη; εἰ δὲ δι' ὀστέων θαυματουργεῖ ὁ
θεός, εὔδηλον, ὅτι δύναται καὶ δι' εἰκόνων καὶ
λίθων καὶ ἑτέρων πολλῶν, καθὼς καὶ ἐπὶ
Ἐλισσαιὲ ἐγένετο. ὃς ἔδωκε τὴν ἰδίαν ῥάβ-
Βασ. δ'. δον τῷ ἑαυτοῦ παιδί, καὶ εἶπε, δι' αὐτῆς πο-
δ'. ρευθέντα ἀναστῆσαι τὸν παῖδα τῆς σουναμίτι-
Εξο. ζ. η. δος. καὶ Μωϋσῆς, ῥάβδῳ Φαραὼ ἐκόλασε. καὶ
Εξο. ιδ' θάλασσαν ἔσχισε. καὶ ὕδωρ ἐγλύκανε. καὶ
Εξο. ιε' πέτραν ἔρρηξε. καὶ ὕδωρ ἐξήγαγε. Καὶ Σολο-
Εξο. ιζ' μὼν φησὶν, ηὐλόγηται ξύλον, δι' οὗ γίνεται
Σοφ. ιδ' σωτηρία. Ἐλισσαιὲ, ξύλον ἐν Ἰορδάνῃ ἀπορρί-
Βασ. δ'. ψας, σίδηρον ἀνήγαγε. καὶ ξύλον ζωῆς. καὶ
ς'. φυτὸν σαβὲκ, ἤγουν συγχωρήσεως. καὶ Μωϋ-
Παροι. σῆς, ξύλῳ ὄφιν ὕψωσε, καὶ λαὸν ἐζωοποίη-
γ'. ια'. σε. ξύλῳ βλαστήσαντι ἐν τῇ σκηνῇ, τὴν ἱε-
Αριθ. κα' ρατείαν ἐκύρωσεν. Ἀλλ' ἴσως ἐρεῖς μοι ὁ Ἰου-
Αριθ. ιζ' δαῖος, ὅτι τὰ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἅ-
παντα, ὁ θεὸς γενέσθαι προσέταξε τῷ Μωϋ-
σῇ. κἀγώ σοι λέγω, ὅτι πολλὰ καὶ ποικίλα
πράγματα ὁ Σολομὼν ἐν τῷ ναῷ γλυπτὰ
καὶ χωνευτὰ πεποίηκεν, ἅπερ οὐδὲ ὁ θεὸς
αὐτῷ ποιῆσαι προσέταξεν, οὐδὲ ἡ σκηνὴ τοῦ
μαρτυρίου ταῦτα ἐκέκτητο, οὔτε ὁ ναὸς ὃν
Ιεζ. μα' ὁ θεὸς τῷ Ἰεζεκιὴλ ὑπέδειξε, καὶ οὐ κατεγνώ-
σθη ἐν τούτῳ ὁ Σολομὼν, εἰς δόξαν γὰρ θεοῦ
τὰς τοιαύτας μορφὰς κατεσκεύασεν, ὥσπερ

καὶ ἡμεῖς. εἶχες καὶ σὺ, πολλὰς καὶ διαφόρους πρὸς ἀνάμνησιν θεοῦ εἰκόνας καὶ σήμαντρα, πρὶν ἢ τούτων διὰ τῆς σῆς ἀγνωμοσύνης ἐστερήθης. τουτέστι τὴν μωσαϊκὴν ῥάβδον. τὰς θεοτύπους πλάκας. τὴν πυρσώδη βάτον. τὴν ξηρανύδρον πέτραν. τὴν μαννοφόρον κιβωτόν. τὸ πυρίθεον θυσιαστήριον. τὸ θεώνυμον πέταλον. τὸ θεόδηλον ἐφούδ. τὴν θεόσκιον σκηνήν. εἰ δὲ καὶ σὺ ἅπαντα ταῦτα νυκτὸς καὶ ἡμέρας κατεσκιάζου, ὁ λέγων, δόξα σοι ὁ μόνος παντοκράτωρ θεὸς, ὁ διὰ πάντων τούτων ἐν Ἰσραὴλ θαυματοποιήσας, εἰ δὲ διὰ πάντων τούτων τῆς νομικῶν, ὧν εἶχες ποτὲ, προσαπτῶν τῷ θεῷ προσκύνεις, ὁρᾶς, ὅτι διὰ τῆς εἰκόνων προσάγεται τῷ θεῷ ἡ προσκύνησις;

Καὶ μετ' ὀλίγα. εἰ γὰρ ὁ ἀγαπῶν εἰλικρινῶς φίλον, ἢ βασιλέα, καὶ μάλιστα τὸν εὐεργέτην, κἂν υἱὸν αὐτοῦ θεάσηται, κἂν ῥάβδον, κἂν θρόνον, κἂν στέφανον, κἂν οἶκον, κἂν δοῦλον, κρατεῖ καὶ ἀσπάζεται καὶ τιμᾷ τὸν εὐεργέτην βασιλέα, πολλῷ μᾶλλον τὸν θεόν. εἶθε γὰρ, πάλιν λέγω, ἐποίησας καὶ σὺ εἰκόνας μωσαϊκὰς καὶ προφητικὰς, καὶ καθ' ἡμέραν προσεκύνεις τῷ δεσπότῃ αὐτῆς θεῷ. Ὅταν τοίνυν ἴδῃς χριστιανῶν παῖδας

προσκυνοῦντας τῷ σταυρῷ, γνῶθι ὅτι τῷ
σταυρωθέντι χριστῷ τὴν προσκύνησιν προσά-
γομεν, καὶ οὐ τῷ ξύλῳ. ἐπεὶ εἰ τὴν φύσιν
τοῦ ξύλου ἐσέβομεν, πάντως ἂν καὶ τὰ ἄλση, καὶ
τὰ δένδρα προσκυνεῖν εἴχομεν, ὥσπερ σὺ ὁ Ι-
Ιερ. β'. σραὴλ προσεκύνησας τούτοις ποτὲ λέγων τῷ
δένδρῳ καὶ τῷ λίθῳ, ὅτι σύ μου εἶ θεὸς, καὶ
σύ με ἐγέννησας. ἡμεῖς δὲ, οὐχ οὕτως λέγο-
μεν τῷ σταυρῷ, οὐδὲ ταῖς μορφαῖς τῶν ἁγίων,
οὐ γὰρ θεοί ἡμῶν εἰσιν, ἀλλὰ βίβλοι ἀνεωγ-
μέναι πρὸς ἀνάμνησιν θεοῦ καὶ τιμὴν αὐ-
τοῦ, ἐν ταῖς ἐκκλησίαις προφανῶς κείμεναι καὶ
προσκυνούμεναι. ὁ γὰρ τιμῶν τὸν μάρτυρα,
τὸν θεὸν τιμᾷ, ᾧ ὁ μάρτυς ἐμαρτύρησεν.
ὁ προσκυνῶν τὸν ἀπόστολον τοῦ χριστοῦ, τὸν
ἀποστείλαντα αὐτὸν προσκυνεῖ. καὶ ὁ προσ-
πίπτων τῇ μητρὶ τοῦ χριστοῦ, πρόδηλον ὅτι
τῷ υἱῷ αὐτῆς τὴν τιμὴν προσφέρει. οὐδεὶς
γὰρ θεὸς, εἰ μὴ εἷς, ὁ ἐν τριάδι γνωριζόμενός
τε καὶ λατρευόμενος. Οὗτος πιστὸς ἐξηγητὴς
τῆς τοῦ μακαρίου Ἐπιφανίου λέγων, ὁ θεῖος ἐν
τοῖς λόγοις τὴν κυπρίων κατακοσμήσας νῆ-
σον, ἢ οἱ ἀπὸ καρδίας λαλοῦντες; Ἄκουε δὲ
καὶ Σευηριανοῦ τοῦ Γαβάλων ἐπισκόπου,
οἷα φησίν.

Σευηριανοῦ ἐπισκόπου Γαβάλων, ἀπὸ λόγου, τοῦ εἰς τὰ ἐγκαίνια τοῦ σωτῆρος.

Πῶς ἡ εἰκὼν τοῦ ἐπικαταράτου, ζωὴν ἤνεγκε τοῖς ἡμετέροις προγόνοις; καὶ μετ' ὀλίγα. πῶς οὖν ἡ εἰκὼν τοῦ ἐπικαταράτου, ἤνεγκε τῷ λαῷ ἐν συμφορᾷ χειμαζομένῳ σωτηρίαν; ἆρα οὐκ ἦν ἀξιοπιστότερον εἰπεῖν, ἐάν τις ὑμῶν δηχθῇ, βλέψει εἰς τὸν οὐρανὸν ἄνω πρὸς τὸν θεὸν, καὶ σωθήσεται, ἢ εἰς τὴν σκηνὴν τοῦ θεοῦ; ἀλλὰ ταῦτα παριδὼν, μόνον τοῦ σταυροῦ τὴν εἰκόνα ἔπηξεν. διατί δὲ ταῦτα ἐποίει Μωσῆς, ὁ εἰπὼν τῷ λαῷ, οὐ ποιήσεις Ἐξο. κ'. ἑαυτῷ γλυπτὸν, οὐδὲ χωνευτὸν, οὐδὲ πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν, ὑποκάτω τῆς γῆς; ἀλλὰ τί ταῦτα πρὸς τὸν ἀγνώμονα φθέγγομαι; εἰπὲ ὦ πιστότατε θεοῦ θεράπον· ὃ ἀπαγορεύεις, ποιεῖς; ὃ ἀνατρέπεις, κατασκευάζεις; ὁ λέγων οὐ ποιήσεις γλυπτὸν, τὸν Ἐξο. λβ χωνευθέντα βοῦν καταλάσας, σὺ ὄφιν χαλκουργεῖς; καὶ τοῦτο οὐ λάθρα, ἀλλ' ἀναφανδὸν καὶ πᾶσι γνωστόν; ἀλλ' ἐκεῖνα φησὶν ἐνομοθέτησα, ἵνα ἐκκόψω τὰς ὕλας τῆς ἀσεβείας, καὶ τὸν λαὸν ἀπαγάγω πάσης τῆς ἀποστασίας καὶ εἰδωλολατρείας, νυνὶ δὲ, χωνεύω τὸν ὄφιν, χρησίμως εἰς προτύπωσιν τῆς

Ἐξο. κς΄ ἀληθείας. καὶ καθὰ πρὸς σκηνὴν ἔπηξα καὶ
τὰ ἐν αὐτῇ πάντα, καὶ χερουβὶμ ὁμοίωμα
Ἐξο. κε΄ τῶν ἀοράτων διεπέτασσα εἰς τὰ ἅγια, ὡς τύ-
πον καὶ σκιὰν τῶν μελλόντων, οὕτω καὶ ὄφιν
Ἀριθ. κα΄ ἐστήλωσα εἰς σωτηρίαν τῷ λαῷ, ἵνα διὰ τῆς
πείρας τούτων, προγυμνασθῶσι τοῦ σημείου
τοῦ σταυροῦ τὴν εἰκόνα, καὶ τὸν ἐν αὐτῷ σωτῆ-
ρα καὶ λυτρωτήν. καὶ ὅτι ἀψευδέστατος ὁ
λόγος ἀγαπητέ, ἄκουε τοῦ κυρίου σου βε-
Ἰωάν. γ΄ βαιοῦντος καὶ λέγοντος. καὶ καθὼς Μωϋ-
σῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ
ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς
ὁ πιστεύων ἐν αὐτῷ μὴ ἀπόληται, ἀλλ' ἔχῃ
ζωὴν αἰώνιον. Σύνες, ὡς διὰ τὸ ἀπαγαγεῖν
ἔφη τὸν λαὸν τῆς εἰδωλολατρείας, εὐόλι-
σθον καὶ ἕτοιμον ὄντα πρὸς τοῦτο, μὴ ποιεῖν
πᾶν ὁμοίωμα ἐνομοθέτησε; καὶ ὅτι εἰκὼν
ἦν τοῦ πάθους τοῦ κυρίου ὁ ὑψωθεὶς ὄφις; Ὅτι
δὲ οὐ καινὸν ἐφεύρεμα τὸ τῶν εἰκόνων, ἀλλὰ
ἀρχαῖον, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις πα-
τράσιν ἐγνωσμένον τε καὶ εἰθισμένον, ἄκουε.
Γέγραπται ἐν τῷ βίῳ Βασιλείου τοῦ μάκα-
ρος, τῷ δι' Ἑλλαδίου τοῦ αὐτοῦ μαθητοῦ καὶ δια-
δόχου τῆς αὐτοῦ ἱεραρχίας, ὡς παρειστήκει ὁ
ὅσιος τῇ τῆς δεσποίνης εἰκόνι, ἐν ᾗ καὶ ὁ χαρακ-
τὴρ ἐγέγραπτο Μερκουρίου τοῦ ἀοιδίμου

μάρτυρος· παρειστήκει δὲ, ἐξ αὐτῶν Ἰουλιανοῦ τοῦ ἀθεωτάτου καὶ ἀχρειοτάτου τυράννου ἀναίρεσιν. ἐξ ἧς εἰκόνος, ἐμυήθη ταύτην τὴν ἀποκάλυψιν. ἑώρα γὰρ, πρὸς μὲν βραχὺ, ἀφανῆ τὸν μάρτυρα, μετ' οὐ πολὺ δὲ, τὸ δόρυ ἡμαγμένον κατέχοντα.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, οὕτως αὐτολεξεὶ γέγραπται.

Ἠγάπα δὲ ὁ μακάριος Ἰωάννης, τὰς ἐπιστολὰς τοῦ σοφωτάτου Παύλου, ἄγαν. Καὶ μετ' ὀλίγα. ἦν δὲ καὶ τὸ ἐκτύπωμα τοῦ αὐτοῦ ἀποστόλου Παύλου ἔχων ἐν εἰκόνι, ἔνθα ἀνεπαύετο διὰ τὴν τοῦ σώματος ἀσθένειαν, βραχύ τι. ἦν γὰρ, πολυάγρυπνος ὑπὲρ φύσιν. καὶ ἡνίκα διήρχετο τὰς ἐπιστολὰς αὐτοῦ, ἐνητένιζεν αὐτῇ. καὶ ὡς ἐπιζῶντος αὐτοῦ, οὕτω προσεῖχεν αὐτῷ, μακαρίζων αὐτὸν, καὶ ὅλον αὐτοῦ τὸν λογισμὸν πρὸς αὐτὸν εἶχε φανταζόμενος, καὶ διὰ τῆς θεωρίας αὐτῷ ὁμιλῶν. Καὶ μεθ' ἕτερα. ὡς δὲ ἐπαύσατο ὁ Πρόκλος λαλῶν, ἀτενίσας τῇ εἰκόνι τοῦ ἀποστόλου, καὶ θεασάμενος τὸν χαρακτῆρα ὅμοιον τοῦ ὀφθέντος αὐτῷ, βαλὼν μετάνοιαν τῷ Ἰωάννῃ, εἶπε, δακτυλοδεικτῶν τὴν εἰκόνα. συγχώρησόν μοι πάτερ, ὃν εἶδον λαλοῦντά σοι, ὅμοιός ἐστι τούτῳ. ὡς δὲ ὑπολαμβάνω, καὶ αὐτός ἐστιν.

Ἐν τῷ τῆς ὁσίας Εὐπραξίας βίῳ, τὸν δεσποτικὸν δεδεῖχθαι αὐτῇ χαρακτῆρα ἀναγέγραπται, ὑπὸ τῆς προεστηκυίας τῆς ποίμνης.

Ἐν τῷ τῆς ὁσίας Μαρίας βίῳ τῆς αἰγυπτίας, γέγραπται, τῇ εἰκόνι τῆς δεσποίνης αὐτὴν εὔξασθαι, καὶ ταύτην πρὸς ἐγγύην ἐξαιτήσασθαι, καὶ οὕτω τυχεῖν τῆς εἰς τὸν ναὸν εἰσόδου.

Ἐκ τοῦ λειμωναρίου τοῦ ἁγίου πατρὸς ἡμῶν Σωφρονίου ἀρχιεπισκόπου Ἱεροσολύμων.

Ἔλεγεν ὁ ἀββᾶς Θεόδωρος ὁ αἰλιώτης, ὅτι ἦν τις ἔγκλειστος ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ἀγωνιστὴς πάνυ, ἐπολέμει δὲ αὐτῷ ὁ δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν, ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ λέγει τῷ δαίμονι. ἕως πότε οὐκ ἐνδίδως μοι; ἄφες λοιπὸν ἀπ᾽ ἐμοῦ. συνεγήρασάς μοι. φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς, λέγων. ὄμοσόν μοι ὅτι οὐδενὶ λέγεις ὃ μέλλω λέγειν σοι, καὶ οὐκέτι σοι πολεμῶ. καὶ ὤμοσεν αὐτῷ ὁ γέρων, ὅτι μὰ τὸν ἐνοικοῦντα ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινί, ὅπερ λέγεις μοι. τότε λέγει αὐτῷ ὁ δαίμων. μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ οὐκέτι σοι πολεμῶ. εἶχε δὲ ἡ εἰκὼν, ἐκτύπωμα τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας Μαρίας τῆς θεοτόκου, βασταζούσης τὸν κύριον ἡμῶν Ἰησοῦν

χριστόν. λέγει ὁ ἔγκλειστος τῷ δαίμονι, ἄφες σκέψομαι. τῇ οὖν ἐπαύριον, δηλοῖ τῷ ἀββᾷ Θεοδώρῳ τῷ αἰλιώτῃ, εἰκοῦντι τότε ἐν τῇ λαύρᾳ φαρών, καὶ ἦλθε καὶ διηγεῖται ἅπαντα. ὁ δὲ γέρων, λέγει τῷ ἐγκλείστῳ. ὄντως ἀββᾶ ἐνεπέχθης, ὅτι ὤμοσας τῷ δαίμονι, πλὴν καλῶς ἐποίησας ἐξειπών. συμφέρει δέ σοι, μὴ ἐᾶσαι εἰς τὴν πόλιν ταύτην πορνεῖον εἰς ὃ μὴ εἰσέρχῃ, ἢ ἵνα ἀρνήσῃ τὸ προσκυνεῖν τῷ κυρίῳ καὶ θεῷ ἡμῶν Ἰησοῦ χριστῷ μετὰ τῆς ἰδίας αὐτοῦ μητρός. στηρίξας οὖν αὐτὸν, καὶ ἐνδυναμώσας πλείοσι λόγοις, ἀπῆλθεν εἰς τὸν ἴδιον αὐτοῦ τόπον. φαίνεται οὖν πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ, καὶ λέγει αὐτῷ, τί ἔνι κακόγηρε, οὐκ ὤμοσάς μοι ὅτι οὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξεῖπες τῷ ἐλθόντι πρὸς σέ; λέγω σοι κακόγηρε, ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος, λέγων. ὅτι μὲν ὤμοσα, ὤμοσα. καὶ ὅτι ἐπιώρκησα, οἶδα. σοῦ δὲ οὐκ ἀκούω.

Σχόλιον.

Ὁρᾷς, ὅτι τὴν τῆς εἰκόνος προσκύνησιν, τοῦ εἰκονιζομένου εἶπε; καὶ πόσον κακὸν τὸ ταύτῃ μὴ προσκυνεῖν; καὶ πῶς αὐτὸ τῆς πορνείας προετίμησεν ὁ δαίμων; πολλάκις τοίνυν αἰέκαθεν ἱερέων τε καὶ βασιλέων χρι-

στιανοῖς θεόθεν δεδωρημένων, σοφίᾳ τε καὶ θεο-
σεβείᾳ καὶ λόγῳ καὶ βίῳ διαπρεψάντων, καὶ
συνόδων πλείστων γεγενημένων ἁγίων καὶ θεο-
πνεύστων πατέρων, τί μηδεὶς τοῦ τοσαῦτα ἐ-
πιχείρησεν; οὐκ ἀνεξόμεθα νέαν πίστιν διδά-
Ησ. β'. σκεσθαι, ἐκ γὰρ σιὼν ἐξελεύσεται νόμος, προ-
φητικῶς ἔφη τὸ πνεῦμα τὸ ἅγιον, καὶ λόγος
κυρίου ἐξ Ἱερουσαλήμ. οὐκ ἀνεξόμεθα ἄλλοτε
ἄλλα φρονεῖν, καὶ καιροῖς μεταβάλλεσθαι,
καὶ τὴν πίστιν τοῖς ἔξωθεν γέλωτα καὶ παί-
γνιον γενέσθαι. οὐκ ἀνεξόμεθα βασιλικῷ
ὑποκύπτειν θεσπίσματι, τὴν ἐκ πατέρων
πειρωμένῳ ἀνατρέπειν συνήθειαν. οὐ γὰρ εὐ-
σεβῶν βασιλέων, ἀναστρέπειν ἐκκλησιαστικοὺς
θεσμούς. οὐ πατρικὰ ταῦτα, λῃστρικὰ γὰρ
τὰ βίᾳ, καὶ οὐ πειθοῖ γινόμενα. καὶ μάρτυς
ἡ ἐν Ἐφέσῳ τὸ δεύτερον γεγενημένη σύνοδος,
μέχρι δεῦρο λῃστρικὴν δεδεγμένη τὴν ἐπω-
νυμίαν, βασιλικῇ χειρὶ ἐκβιασθεῖσα, ὅτε Φλα-
βιανὸς ὁ μακάριος ἀπεκτέννυτο. συνόδων
ταῦτα, οὐ βασιλέων ὡς ὁ κύριος ἔφησεν. ὅ-
Ματ. ιη. που συναχθῶσι δύο ἢ τρεῖς ἐπὶ τῷ ὀνόματί μου,
ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. οὐ βασιλεῦσι τοῦ
δεσμεῖν καὶ λύειν τὴν ἐξουσίαν δέδωκεν ὁ
χριστός, ἀλλ' ἀποστόλοις, καὶ τοῖς τούτων δια-
δόχοις, καὶ ποιμέσι καὶ διδασκάλοις. καὶ ὡς

ἄγγελος φησὶ Παῦλος ὁ ἀπόστολος, εὐαγγε- Γαλ. ά.
λίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, καὶ τὸ ἑξῆς
σιωπησόμεθα, φειδοῖ τὴν ἐπιστροφὴν ἐκδεχό
μενοι. αὖ δὲ ἴδωμεν τὴν διαστροφὴν ἀνεπί
στροφον, ὅπερ μὴ δῷ ὁ κύριος, τότε ἐπάξομεν
καὶ τὸ λειπόμενον. ἀλλὰ ἀπηύχθω ταῦτα. εἴ-
τις εἰσέλθοι εἰς οἶκον, ἐν ᾧ ζωγράφος ἐν τοί
χοις ἱστορίαν Μωϋσέος καὶ Φαραὼ ἔγραψε
χρώμασιν, εἶτα ἐρωτήσει τυχὸν περὶ τῶν
ὡς διὰ ξηρᾶς διοδευσάντων τὴν θάλασσαν, Εξο. ιδ'
τίνες οὗτοι εἰσί, τί ἐρεῖς ἐρωτώμενος, οὐχ
υἱοὶ Ισραήλ; τίς ὁ ῥάβδῳ παίων τὴν θά-
λασσαν, οὐχὶ Μωϋσῆς; οὕτως καὶ εἴ τις τὸν
χριστὸν εἰκονίσει σταυρούμενον, καὶ ἐρωτηθῇ,
τίς οὗτος ἐστί, χριστὸς ὁ θεὸς ἐρεῖ, ὁ δι' ἡμᾶς
σαρκωθείς. καὶ δέσποτα προσκυνοῦμεν
πάντα τὰ σὰ, καὶ πόθῳ ἐκκαεῖ περὶ τὴν ὑπ-
οσόμεθα τὴν θεότητα. τὴν δύναμιν. τὴν
ἀγαθότητα. τὸν περὶ ἡμᾶς ἔλεον. τὴν
συγκατάβασιν. τὴν σάρκωσιν. καὶ ὥσπερ
ἅψασθαι σιδήρου πεπυρακτωμένου δεδοίκα-
μεν, οὐ διὰ τὴν τοῦ σιδήρου φύσιν, ἀλλὰ διὰ
τὸ ἡνωμένον αὐτῷ πῦρ, οὕτω τὴν σάρκα τὴν
σὴν προσκυνῶ, οὐ διὰ τὴν τῆς σαρκὸς φύσιν,
ἀλλὰ διὰ τὴν καθ' ὑπόστασιν ἡνωμένην αὐ-
τῇ θεότητα. προσκυνοῦμεν σου τὰ πάθη.

τίς εἶδε θάνατον προσκυνούμενον; τίς πάθη σεπτά; ἀλλ᾽ ὄντως προσκυνοῦμεν τὸν τοῦ θεοῦ μου σωματικὸν θάνατον, καὶ τὰ σωτήρια πάθη. προσκυνοῦμεν σου τὴν εἰκόνα. πάντα τὰ σὰ προσκυνοῦμεν. τοὺς θεράποντας. τοὺς φίλους. καὶ πρὸ τούτων, τὴν μητέρα τὴν θεοτόκον. δυσωποῦμεν δὲ καὶ τὸν τοῦ θεοῦ λαὸν, τὸ ἔθνος τὸ ἅγιον, τῆς ἐκκλησιαστικῶν ἀνθέξεσθαι παραδόσεων. ἡ γὰρ κατὰ μικρὸν τῆς παραδεδομένων ἀφαίρεσις, ὡς ἐξ οἰκοδομῆς λίθων, θᾶττον ἅπασαν τὴν οἰκοδομὴν καταρρήγνυσιν. εἴη δὲ ἡμᾶς, ἑδραίους, ἀκαμπεῖς, ἀκλονήτους διαμένειν, ἐπὶ πέτραν ὀχυρὰν ἐστηριγμένους, ἥτις ἐστὶν ὁ χριστός. ᾧ
πρέπει δόξα τιμὴ καὶ προσκύνησις,
σὺν τῷ πατρὶ καὶ τῷ πνεύ-
ματι, νῦν τε καὶ εἰς τοὺς
ἀπεράντους αἰῶ-
νας τῶν αἰώ-
νων.
Ἀμήν.

Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῶν σεπτῶν εἰκόνων, λόγος β'.

Δ Ότε συγγνώμην αἰτοῦντι δε-
σπόται μου, καὶ δέξασθε τὸν πλη-
ροφορίας λόγον, παρ' ἐμοῦ τοῦ
ἀχρείου καὶ ἐλαχίστου δούλου
τῆς τοῦ θεοῦ ἐκκλησίας, οὐ
γὰρ δόξης ἕνεκεν, ἢ φαντασμοῦ πρὸς τὸ λέ-
γειν ὥρμησα, θεὸς μάρτυς, ἀλλὰ ζήλῳ ἀλη-
θείας, αὐτὸν γὰρ μόνον ἐλπίδα σωτηρίας
κέκτημαι, καὶ σὺν αὐτῷ ὑπαντῆσαι τῷ δε-
σπότῃ χριστῷ ἐλπίζω καὶ εὔχομαι. τοῦτον δὲ
αὐτῷ προσφέρων, τῶν ἀτόπως μοι πεπλημ-
μελημένων γενέσθαι ἐξίλασμα. ὁ μὲν γὰρ Ματ. κε
τὰ πέντε τάλαντα παρὰ τοῦ δεσπότου λα-
βὼν, ἕτερα πέντε κερδήσας, προσήγαγε. καὶ
ὁ τὰ δύο, ἰσάριθμα δύο. ὁ δὲ τὸ ἓν εἰλη-
φὼς, κατορύξας, καὶ ἄκαρπον τοῦτο προσαγα-
γὼν, πονηρὸς δοῦλος ἀκούσας, εἰς τὸ ἐξώτερον
κατακέκριται σκότος. ὅπερ ἐγὼ μὴ παθεῖν
ὑφορώμενος, τῷ δεσποτικῷ ὑπείκω προστάγμα-
τι. καὶ τὸ δεδομένον μοι παρ' αὐτοῦ τοῦ λόγου
τάλαντον, ὑμῖν παρατίθημι τοῖς φρονίμοις
τραπεζίταις, ὅπως ἐλθὼν ὁ κύριός μου, σύ-

ροι πολυπλασιαζόμενον, καὶ τίκον καρποφοροῦν ψυχῶν, καὶ δοῦλον πιστὸν εὑρὼν, εἰσάγη με εἰς τὴν πεποθημένην μοι γλυκυτάτην χαρὰν αὐτοῦ. ἀλλὰ δότε μοι οὖς ἀκροάσεως, καὶ τὰς ςραπέζας τῆς καρδίας ἀναπετάσαντες, δέξασθέ μου τὸν λόγον, καὶ εἰλικρινῶς διακείνατε τῶν λεγομένων τὴν δύναμιν. δεύτερον δὲ τοῦτον τὸν λόγον ὑπὲρ εἰκόνων συνέταξε, τινὲς γὰρ τῶν τέκνων τῆς ἐκκλησίας, ὑπέθεντό μοι τοῦτο ποιῆσαι, διὰ τὸ μὴ πάνυ εὐδιάγνωστον τοῖς πολλοῖς τὸν πρῶτον εἶναι. ἀλλὰ καὶ ἐν τούτῳ σύγγνωτέ μοι, ὑπακοὴν ἐκπληρώσαντι. Ἔθος ἐστὶν ὦ ἀγαπητοὶ, τῷ φθονερῷ καὶ ἀρχεκάκῳ ὄφει, τῷ διαβόλῳ φημὶ, πολυτρόπως πολεμεῖν τῷ κατ' εἰκόνα Θεοῦ πλαστουργηθέντι ἀνθρώπῳ, καὶ διὰ τῶν ἐναντίων τὸν αὐτοῦ κατεργά-
γεν. γ΄. ζεσθαι θάνατον. εὐθὺς μὲν γὰρ ἐν ἀρχῇ, ἐλπίδα καὶ ἐπιθυμίαν θεώσεως αὐτῷ ἐνέσπειρε. καὶ δι' αὐτῆς, εἰς τὸν τῶν ἀλόγων κατήγαγε θάνατον. οὐ μὴν, ἀλλὰ καὶ αἰσχραῖς καὶ ἀλόγοις ἡδοναῖς πολλάκις αὐτὸν ἐδελέασε. ποτὲ δὲ τὸ μέσον θεώσεως καὶ ἀλόγου ἐπιθυμίας; καὶ ποτὲ μὲν, εἰς ἀθεότητα ἤγαγε,
ψαλ. ιγ καθὼς φησιν ὁ θεοπάτωρ Δαβίδ. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. ποτὲ δὲ

εἰς πολυθεΐαν. καὶ ποτὲ μὲν, μὴ δὲ τὸν φύσει
θεὸν προσκυνεῖν ἔπεισε. ποτὲ δὲ, δαίμοσιν.
ἔτι δὲ, οὐρανῷ τε καὶ γῇ, ἡλίῳ τε καὶ σελήνῃ καὶ
ἄστρασι καὶ τῇ λοιπῇ κτίσει, μέχρι τοῦ κνωδά-
λων καὶ ἑρπετῶν προσκυνεῖν τὴν προσκύνησιν. ὁ-
μοίως γάρ ἐστι χαλεπὸν, καὶ τὸ τοῖς τιμίοις τὴν
ὀφειλομένην μὴ προσάγειν τιμὴν, καὶ τὸ τοῖς
ἀτίμοις τὴν μὴ προσήκουσαν ὑπερβάλλου-
σαν προσάπτειν δόξαν. πάλιν. τινὰς μὲν,
συνάναρχον τῷ θεῷ τὴν κακίαν λέγειν ἐδί-
δαξε. τινὰς δὲ, αἴτιον τῆς κακίας τὸν φύσει
ἀγαθὸν θεὸν ὁμολογεῖν ἐξηπάτησε. καὶ οὓς
μὲν, μίαν φύσιν καὶ μίαν ὑπόστασιν τῆς θεό-
τητος ἀφρόνως λέγειν ἐπλάνησεν. οὓς δὲ,
τρεῖς φύσεις καὶ τρεῖς ὑποστάσεις ἀθέσμως
σέβειν ἐδίδαξε. καὶ τοὺς μὲν, μίαν ὑπόστα-
σιν καὶ μίαν φύσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χρι-
στοῦ, τοῦ υἱοῦ τῆς ἁγίας τριάδος. τοὺς δὲ, δύο
φύσεις, καὶ δύο ὑποστάσεις τοῦ αὐτοῦ δοξάζειν
ὑπέθετο. ἡ δὲ ἀλήθεια, μέσην ὁδὸν βαδίζου-
σα, πάντα ταῦτα ἀπαρνεῖται τὰ ἄτοπα,
καὶ διδάσκει, ἕνα θεὸν ὁμολογεῖν, μίαν φύ-
σιν ἐν τρισὶν ὑποστάσεσι, πατρὶ καὶ υἱῷ καὶ
ἁγίῳ πνεύματι. τὴν δὲ κακίαν, οὐκ οὐσίαν,
ἀλλὰ συμβεβηκὸς φησὶν, ἔννοιαν τινὰ καὶ λό-
γον καὶ πρᾶξιν παρὰ τὸν νόμον τοῦ θεοῦ.

ἐν τῷ ἐννοεῖσθαι καὶ λέγεσθαι καὶ πράττεσθαι τὴν ὕπαρξιν ἔχουσαν, καὶ ἅμα τῷ παύεσθαι ἀφανιζομένην. ἔτι δὲ καὶ τὸν ἕνα τῆς ἁγίας τριάδος τὸν χριστὸν, δύο φύσεις κηρύττει καὶ μίαν ὑπόστασιν. ἀλλ' ὁ τῆς ἀληθείας ἐχθρὸς, καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων πολέμιος δαίμων, καὶ φθαρτῶν ἀνθρώπων καὶ πετεινῶν καὶ κνωδάλων καὶ ἑρπετῶν εἰκόνας ποιεῖν, καὶ ταύτας ὡς θεοῖς προσκυνεῖν, οὐ μόνον τὰ ἔθνη, ἀλλὰ καὶ τοὺς υἱοὺς Ισραὴλ πολλάκις πλανήσας, νῦν εἰρηνεύουσαν τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, συνταράξαι σπουδάζει, διὰ χειλέων ἀδίκων καὶ γλώσσης δολίας, λόγοις θείοις τὴν κακίαν παραρτύων. καὶ ταύτης τὸ ἄσχημον καὶ σκοτεινὸν εἶδος, ἐπικαλύπτειν πειρώμενος, καὶ τὰς καρδίας τῶν ἀστηρίκτων σαλεύειν ἐκ τῆς ἀληθοῦς καὶ πατροπαραδότου συνηθείας. αἱ ἔστησαν γάρ τινες λέγοντες, ὡς οὐ δεῖ εἰκονίζειν καὶ προτιθέναι εἰς θεωρίαν, καὶ δόξαν, καὶ θαῦμα, καὶ ζῆλον, τὰ τοῦ χριστοῦ σωτήρια θαύματα, καὶ τὰς τῶν ἁγίων ἀνδραγαθίας κατὰ τοῦ διαβόλου. καὶ τίς ἔχων γνῶσιν θείαν, καὶ σύνεσιν πνευματικὴν, οὐκ ἐπιγινώσκει ὅτι ὑποβολὴ τοῦ διαβόλου ἐστίν; οὐ θέλει γὰρ τὴν ἧτταν καὶ τὴν αἰσχύνην αὐτοῦ δημοσιεύ-

θαι, οὐδὲ τὴν τοῦ θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ δόξαν ἀνάγραπτον γίνεσθαι. εἰ μὲν γὰρ τοῦ ἀοράτου θεοῦ εἰκόνα ἐποιοῦμεν, ὄντως ἡμαρτάνομεν, ἀδύνατον γὰρ τὸ ἀσώματον, καὶ ἀόρατον, καὶ ἀπερίγραπτον, καὶ ἀσχημάτιστον εἰκονισθῆναι. Καὶ πάλιν. εἰ ἐποιοῦμεν εἰκόνας ἀνθρώπων, καὶ ταύτας θεοὺς ἡγούμεθα, καὶ ὡς θεοῖς ἐλατρεύομεν, ὄντως ἠσεβοῦμεν. ἀλλ' οὐδὲν τούτων ποιοῦμεν. θεοῦ γὰρ σαρκωθέντος καὶ ὀφθέντος ἐπὶ γῆς σαρκὶ, καὶ ἀνθρώποις συναναστραφέντος δι' ἄφατον ἀγαθότητα, καὶ φύσιν καὶ πάχος καὶ σχῆμα καὶ χρῶμα σαρκὸς ἀναλαβόντος, τούτου τὴν εἰκόνα ποιοῦντες, οὐ σφαλλόμεθα. ποθοῦμεν γὰρ αὐτοῦ ἰδεῖν τὸν χαρακτῆρα, ὡς γάρ φησιν ὁ θεῖος ἀπόστολος, ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι νῦν βλέπομεν. καὶ ἡ εἰκὼν δὲ, ἔσοπτρόν α. κορ. ιγ. ἐστι καὶ αἴνιγμα, ἁρμόζον τῇ τοῦ σώματος ἡμῶν παχύτητι, πολλὰ γὰρ κάμνων ὁ νοῦς, οὐ δύναται ἐκβῆναι τὰ σωματικά. ὦ ἀπὸ τοῦ φθονερὲ διάβολε, φθονεῖς ἡμῖν ἰδεῖν τὸ τοῦ δεσπότου ἡμῶν ὁμοίωμα, καὶ δι' αὐτοῦ ἁγιασθῆναι, καὶ ἰδεῖν αὐτοῦ τὰ σωτήρια πάθη, καὶ θαυμάσαι αὐτοῦ τὴν συγκατάβασιν, καὶ θεωρεῖν αὐτοῦ τὰ θαύματα, καὶ δοξάζειν αὐτοῦ τὴν τῆς θεότητος δύναμιν. φθονεῖς τοῖς ἁ-

γίοις τῆς παρὰ θεοῦ δεδομένης αὐτοῖς τι-
μῆς. οὐ θέλεις ἐρᾶν ἡμᾶς τὴν αὐτῆς δόξαν
ἀνάγραπτον, καὶ ζηλωτὰς γίνεσθαι τῆς αὐ-
τῆς ἀνδρείας καὶ πίστεως. οὐ πειθόμεθά σοι
δαίμων φθονερὲ καὶ μισάνθρωπε. ἀκούσα-
τε λαοί. φυλαί. γλῶσσαι. ἄνδρες. γυναῖ-
κες καὶ παῖδες. πρεσβύται. νεανίσκοι καὶ
νήπια. τὸ ἔθνος τῶν χριστιανῶν τὸ ἅγιον, εἴ-
τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρέλαβεν
ἡ καθολικὴ ἐκκλησία παρὰ τῶν ἁγίων ἀποστό-
λων, πατέρων, καὶ συνόδων, καὶ μέχρι τοῦ
νῦν διεφύλαξε, μὴ ἀκούσητε αὐτοῦ. μὴ δὲ δέ-
ξησθε τὴν συμβουλὴν τοῦ ὄφεως, ὡς ἐδέξατο
γεν. γ'. Εὔα καὶ ἐφύγησε θάνατον. κἂν ἄγγελος,
κἂν βασιλεὺς εὐαγγελίζηται ὑμᾶς παρ' ὃ
παρελάβετε, κλείσατε τὰς ἀκοάς, ὀκνῶ γὰρ
Γαλ. α'. πῶς εἰπεῖν, ὡς ἔφη ὁ θεῖος ἀπόστολος, ἀνά-
θεμα ἔστω, ἐκδεχόμενος τὴν διόρθωσιν. ἀλλὰ
λέγουσιν οἱ μὴ ἐρευνῶντες τὸν νοῦν τῆς γρα-
φῆς, ὅτι εἶπεν ὁ θεὸς διὰ Μωϋσέος τοῦ νομο-
Ἐξο. κ'. θέτου, οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ
οὐρανῷ, καὶ ὅσα ἐν τῇ γῇ. καὶ διὰ Δαβὶδ τοῦ
ψαλ. ϙϛ προφήτου. αἰσχυνθήτωσαν πάντες οἱ προσ-
κυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι
ἐν τοῖς εἰδώλοις αὐτῶν. καὶ τοιαῦτα πολλὰ
ἕτερα. ὅσα γὰρ ἂν ἔκ τε τῆς θείας γραφῆς,

καὶ ἐκ τῶν ἁγίων πατέρων περιέχουσι, τῆς
αὐτῆς ἐννοίας εἰσί. τί οὖν ἡμεῖς φαμὲν πρὸς
ταῦτα; τί ἄλλο, εἰ μὴ τὸ ὑπὸ τοῦ κυρίου
τοῖς ἰουδαίοις εἰρημένον. ἐρευνᾶτε τὰς γρα- Ιωάν. ε'.
φὰς, καλὴ γὰρ ἡ τῶν γραφῶν ἔρευνα. ἀλλ' ἐν
τούτῳ δὲ νουνεχῶς προσέχετε. ἀδύνατον ὦ ἀ-
γαπητοὶ θεὸν ψεύσασθαι. εἷς γάρ ἐστι θεὸς,
εἷς νομοθέτης παλαιᾶς καὶ καινῆς διαθήκης,
ὁ πάλαι λαλήσας πολυμερῶς καὶ πολυτρό- Εβρ. α'.
πως τοῖς πατράσιν ἐν τοῖς προφήταις, καὶ ἐπ'
ἐσχάτων τῶν χρόνων ἐν τῷ μονογενεῖ αὐτοῦ
υἱῷ. προσέχετε τὸν νοῦν μετὰ ἀκριβείας, οὐκ
ἐμὸς ὁ λόγος ἐστὶ, τὸ πνεῦμα τὸ ἅγιον διὰ Παύ-
λου τοῦ ἁγίου ἀποστόλου ἀπεφήνατο, πολυμε
ρῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας
τοῖς πατράσιν ἐν τοῖς προφήταις. ὅρα ὅτι πο
λυμερῶς καὶ πολυτρόπως ἐλάλησεν ὁ θεός.
ὥσπερ γὰρ ἐπιστήμων ἰατρὸς, οὐ τὸ αὐτὸ εἶδος
πᾶσι δίδωσιν, οὐδὲ πάντοτε, ἀλλ' ἑκάστῳ κατὰ
τὴν ἕξιν παρέχει τὸ φάρμακον, διακρίνων καὶ
χώραν, καὶ νόσον, καὶ καιρὸν, καὶ ἡλικίαν. καὶ τῷ
μὲν νηπίῳ, ἕτερον. τῷ δὲ τελείῳ κατὰ τὴν ἡ-
λικίαν, ἕτερον. ἄλλο τῷ ἀσθενεῖ. καὶ ἄλλο τῷ
ὑγιαίνοντι. καὶ ἑκάστῳ τῶν ἀσθενούντων, οὐ τὸ
αὐτὸ, ἀλλὰ πρὸς τὴν ἕξιν καὶ τὴν νόσον. καὶ ἄλ
λο τῷ θέρει, καὶ χειμῶνι ἕτερον, μετοπώρῳ

τε καὶ ἔαρι, καὶ ἐν ἑκάστῳ τόπῳ κατὰ τὴν
τοῦ τόπου ἐπιτηδειότητα, οὕτω καὶ ὁ ἄριστος
τῆς ψυχῶν ἰατρὸς, τοῖς ἔτι νηπίοις καὶ ἀῤῥω-
στοῦσι τὴν πρὸς εἰδωλολατρείαν νόσον; καὶ τὰ
εἴδωλα θεοὺς ἡγουμένοις, καὶ ὡς θεοῖς αὐ-
τοῖς προσκυνοῦσι, καὶ ἀθετοῦσι τὴν τοῦ θεοῦ
προσκύνησιν, καὶ τὴν αὐτοῦ δόξαν τῇ κτίσει
προστάττουσιν, ἀπηγόρευσε τοῦτο ποιεῖν. θεοῦ
μὲν γὰρ τοῦ ἀσωμάτου καὶ ἀοράτου καὶ ἀΰλου,
καὶ μήτε σχῆμα μήτε περιγραφὴν μήτε κα-
τάληψιν ἔχοντος, ἀδύνατον ποιεῖν εἰκόνα.
πῶς γὰρ τὸ μὴ ὁραθὲν εἰκονισθήσεται; θεὸν
Ιω. ά. δὲ, οὐδεὶς ἑώρακε πώποτε. ὁ μονογενὴς υἱὸς,
ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, αὐτὸς ἐξηγή-
Εξο. λγ. σατο. καὶ οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ
ζήσεται, ἔφη ὁ θεός. Ὅτι δὲ τοῖς εἰδώλοις ὡς
θεοῖς προσεκύνουν, ἄκουε τί φησιν ἡ γρα-
φὴ ἐν τῇ ἐξόδῳ τῆς υἱῶν Ισραὴλ, ὅτε ἀνῆλ-
θε Μωϋσῆς εἰς τὸ ὄρος σινᾶ, καὶ ἐχρόνισε
προσεδρεύων τῷ θεῷ, λαβεῖν τὸν νόμον, ὅτε
ἐπανέστη ὁ ἀγνώμων λαὸς Ααρὼν τῷ τοῦ θεοῦ
Εξο. λβ. θεράποντι, λέγοντες. ποίησον ἡμῖν θεοὺς, οἳ
προπορεύσονται ἡμῶν, ὁ γὰρ ἄνθρωπος οὗ-
τος ὁ Μωσῆς, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.
Εξο. λβ. εἶτα ὅτε περιεῖλον τὸν κόσμον τῆς γυναι-
κῶν αὐτῆς, καὶ ἐχώνευσαν, ἔφαγον καὶ ἔπιον

καὶ ἐμε-

καὶ ἐμεθύσθησαν ἀπὸ τοῦ οἴνου καὶ τῆς πλάνης, καὶ ἤρξαντο παίζειν, ἐν ἀφροσύνῃ λέγοντες· οὗτοι οἱ θεοί σου Ἰσραήλ. ὁρᾷς, ὅτι θεοὺς εἶχον τὰ εἴδωλα, ἅτινα δαιμόνων ἦσαν καθιδρύματα; καὶ ὅτι τῇ κτίσει ἐλάτρευον παρὰ τὸν κτίσαντα; καθώς φησι καὶ ὁ θεῖος ἀπόστολος. οἵτινες ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ, ἐν ὁμοιώματι φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. τούτου χάριν ἀπηγόρευσεν ὁ θεὸς ποιεῖν πᾶν ὁμοίωμα, καθὼς Μωϋσῆς ἐν τῷ δευτερονομίῳ φησί. καὶ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐκμέσου τοῦ πυρός. φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ᾽ ἢ φωνήν. Καὶ μετ᾽ ὀλίγα. καὶ φυλάξασθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν χωρὴβ ἐν τῷ ὄρει, ἐκμέσου τοῦ πυρὸς, μήποτε ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ, ἢ θηλυκοῦ. ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς. ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ, καὶ τὰ ἑξῆς. Καὶ μετὰ βραχέα. καὶ μήποτε ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν

Ρωμ. α'.

Δευτ. δ'

σελήνην καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσ-
μον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐ-
τοῖς καὶ λατρεύσῃς αὐτοῖς. Ὁρᾷ, ὡς εἷς ἐστὶν
ὁ σκοπὸς, ὥστε μὴ λατρεύσαι τῇ κτίσει παρὰ
τὸν κτίσαντα, μηδὲ προσαγαγεῖν τὴν τῆς
λατρείας προσκύνησιν, ἀλλ' ἢ μόνῳ τῷ δη-
Ἐξόδ. κ. μιουργῷ. διὸ πανταχῇ συνάπτει τῇ προσ-
κυνήσει τὴν λατρείαν. Καὶ μετ' ὀλίγα. οὐκ
ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιή-
σεις ἑαυτῷ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα.
1 Καὶ πάλιν. καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις
σεαυτῷ. Ὁρᾷς, ὡς τῆς εἰδωλολατρείας ἕνε-
κεν ἀπαγορεύει τὴν εἰκονογραφίαν; καὶ ὅτι
ἀδύνατον εἰκονίζεσθαι θεὸν τὸ ἀσώματον
καὶ ἀόρατον καὶ ἀπερίγραπτον; οὐ γὰρ εἶ-
δος αὐτοῦ φησιν ἑωράκατε. καθὰ καὶ Παῦ-
λος ἑστὼς ἐν μέσῳ τοῦ Ἀρείου πάγου, φησί.
ιζ γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, οὐκ ὀφείλο-
μεν νομίζειν, χρυσίῳ, ἢ ἀργυρίῳ, ἢ λίθῳ, χα-
ράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου,
τὸ θεῖον εἶναι ὅμοιον. καὶ ὅτι ταῦτα οὕ-
τως ἔχει, ἄκουε. οὐ ποιήσεις σεαυτῷ φησὶ
γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα. ταῦτα τοῦ
θεοῦ προστάξαντος, ἐποίησαν φησὶ τὸ κατα-
πέτασμα τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐξ ὑακίν-
θου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου,

καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν, χερουβὶμ. καὶ ἐποίησαν τὸ ἱλαστήριον ἐπάνω τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ, καὶ τὰ δύο χερουβίμ. τί ποιεῖς ὦ μωσῆ; σὺ λέγεις οὐ ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα, καὶ σὺ καταπέτασμα κατασκευάζεις, ἔργον ὑφαντὸν χερουβίμ; καὶ δύο χερουβὶμ ἐκ χρυσίου καθαροῦ; ἀλλ᾽ ἄκουε τί πρὸς σὲ ὁ θεράπων τοῦ θεοῦ Μωϋσῆς ἀποφθέγγεται. ὦ τυφλοὶ καὶ μωροὶ, σύνετε τῶν λεγομένων τὴν δύναμιν, καὶ φυλάξασθε σφόδρα τὰς ψυχὰς ἡμῶν. εἶπον, ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν χωρὴβ ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρός, μήποτε ἀνομήσητε καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ. οὐκ εἶπεν οὐ ποιήσεις εἰκόνα χερουβὶμ, ὡς δούλων παρεστηκότων τῷ ἱλαστηρίῳ, ἀλλ᾽ οὐ ποιήσεις σεαυτῷ θεοὺς χωνευτοὺς, καὶ οὐ ποιήσεις πᾶν ὁμοίωμα ὡς θεοῦ, οὐδ᾽ οὐ μὴ λατρεύσῃς τῇ κτίσει παρὰ τὸν κτίσαντα. ὁμοίωμα μὲν οὖν θεοῦ οὐκ ἐποίησα, οὐδὲ μὴν ἑτέρου τινὸς ὡς θεοῦ, οὐδὲ ἐλάτρευσα τῇ κτίσει παρὰ τὸν κτίσαντα. οὕτω καὶ ὑμεῖς ποιεῖτε. Εἶδες πῶς ἀνεφάνη ὁ σκοπὸς τῆς γραφῆς τοῖς συνετῶς ἐρευνῶσι;

Δευτ. δ

Ἐξ

δεῖ γὰρ γινώσκειν ἀγαπητοί, ὅτι ἐν παντὶ πράγματι ἡ ἀλήθεια ζητεῖται, καὶ τὸ ψεῦδος, καὶ ὁ σκοπὸς τοῦ ποιοῦντος, εἰ καλός ἐστιν, ἢ κακός. ἐν μὲν γὰρ τῷ εὐαγγελίῳ, καὶ θεὸς, καὶ ἄγγελος, καὶ ἄνθρωπος, καὶ οὐρανὸς, καὶ γῆ, καὶ ὕδωρ, καὶ πῦρ, καὶ ἀὴρ, καὶ ἥλιος, καὶ σελήνη, καὶ ἄστρα, καὶ φῶς, καὶ σκότος, καὶ σατανᾶς, καὶ δαίμονες, καὶ ὄφεις, καὶ σκορπίοι, καὶ θάνατος, καὶ ᾅδης, καὶ ἀρεταὶ καὶ κακίαι, καὶ πάντα καλά τε καὶ κακά εἰσιν ἐγγεγραμμένα. ἀλλ᾽ ὅμως, ἐπειδὴ πάντα τὰ περὶ αὐτῆς λεγόμενα ἀληθῆ εἰσι, καὶ ὁ σκοπὸς πρὸς δόξαν θεοῦ ἐστι, καὶ τῆς ὑπ᾽ αὐτοῦ δοξαζομένων ἁγίων, καὶ πρὸς σωτηρίαν ἡμῶν, καὶ καθαίρεσιν καὶ αἰσχύνην τοῦ διαβόλου καὶ τῆς δαιμόνων αὐτοῦ, προσκυνοῦμεν καὶ περιπτυσσόμεθα καὶ καταφιλοῦμεν, καὶ ὀφθαλμοῖς καὶ χείλεσι καὶ καρδίᾳ ἀσπαζόμεθα. ὁμοίως καὶ πᾶσαν τὴν παλαιὰν καὶ καινὴν διαθήκην, τούς τε λόγους τῆς ἁγίων καὶ ἐκκρίτων πατέρων. τὴν δὲ αἰσχρὰν καὶ μυσαρὰν καὶ ἀκάθαρτον γραφὴν τῆς καταράτων μανιχαίων τε καὶ ἑλλήνων, καὶ τῆς λοιπῶν αἱρέσεων, ὡς ψευδῆ καὶ ματαια περιέχουσαν, καὶ πρὸς δόξαν τοῦ διαβόλου καὶ τῆς δαιμόνων αὐτοῦ, καὶ χαρὰν

αὐτῶν ἐφευρεθεῖσαν, ἀποπτύομεν καὶ ἀπο-
βαλλόμεθα, καί τοι γε καὶ ὄνομα θεοῦ περιέ-
χουσαν. οὕτω καὶ ἐν τῷ πράγματι τῶν εἰκό-
νων, χρὴ ἐρευνᾶν τήν τε ἀλήθειαν καὶ τὸν σκο-
πὸν τῶν ποιούντων. καὶ εἰ μὲν ἀληθὴς καὶ
ὀρθὸς καὶ πρὸς δόξαν θεοῦ καὶ τῶν ἁγίων
αὐτοῦ, καὶ πρὸς ζῆλον ἀρετῆς, καὶ ἀποφυ-
γὴν κακίας, καὶ σωτηρίαν ψυχῶν γίνονται,
ἀποδέχεσθαι καὶ τιμᾶν ὡς εἰκόνας καὶ μι-
μήματα καὶ ὁμοιώματα καὶ βιβλία τῶν
ἀγραμμάτων, καὶ προσκυνεῖν καὶ κατα-
φιλεῖν. καὶ ὀφθαλμοῖς καὶ χείλεσι καὶ καρ-
δίᾳ ἀσπάζεσθαι, ὡς σεσαρκωμένου θεοῦ ὁ-
μοίωμα, ἢ τῆς τούτου μητρός, ἢ τῶν ἁγίων τῶν
κοινωνῶν τῶν παθημάτων καὶ τῆς δόξης τοῦ
χριστοῦ, καὶ νικητῶν καὶ καθαιρετῶν τοῦ δια-
βόλου καὶ τῶν δαιμόνων καὶ τῆς πλάνης αὐ-
τῶν. εἰ δὲ θεότητος τῆς ἀΰλου, καὶ ἀσωμάτου,
καὶ ἀοράτου, καὶ ἀσχηματίστου, καὶ ἀχρωμα-
τίστου, εἰκόνα τὶς τολμήσει ποιῆσαι, ὡς ψευδῆ
ἀποβαλλόμεθα. καὶ ἐάν τις ἐπὶ δόξῃ καὶ
προσκυνήσει καὶ τιμῇ τοῦ διαβόλου, ἢ τῶν
δαιμόνων, καταπτύομεν καὶ πυρὶ ἀναλίσκο-
μεν. καὶ ἐάν τις ἀνθρώπων, ἢ πετεινῶν, ἢ ἑρ-
πετῶν, ἢ ἄλλης κτίσεως θεοποιήσῃ εἰκόνα,
ἀναθεματίζομεν τοῦτον. ὥσπερ γὰρ τὰ ἱερὰ καὶ

τοὺς ναοὺς τῶν δαιμόνων καθεῖλον οἱ ἅγιοι πα-
τέρες, καὶ ἐν τοῖς αὐτῶν τόποις, ναοὺς ἐπ'
ὀνόματι ἁγίων ἤγειραν, καὶ τούτοις σέβομεν,
οὕτω καὶ τὰς εἰκόνας τῶν δαιμόνων καθεῖ-
λον, καὶ ἀντ' ἐκείνων ἤγειραν εἰκόνας Χρι-
στοῦ, καὶ τῆς θεοτόκου, καὶ τῶν ἁγίων. καὶ
ἐκεῖ μὲν τῆς παλαιᾶς, οὔτε ναοὺς ἐπ' ὀνόμα-
τι ἀνθρώπων ἤγειρεν ὁ Ἰσραήλ, οὔτε μνημό-
συνον ἀνθρώπου ἑορτάζετο, ἔτι γὰρ ὑπὸ κα-
τάραν ἦν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ὁ θάνατος
κατάκρισις ἦν, διὸ καὶ ἐπενθεῖτο. καὶ τὸ σῶμα
Δευτ. τοῦ τεθνηκότος, ἀκάθαρτον ἐλογίζετο, καὶ ὁ ἁ-
ιθ. πτόμενος αὐτοῦ. νῦν δέ, ἀφ' οὗ ἡ θεότης τῇ ἡ-
μετέρᾳ φύσει συνανεκράθη, οἷόν τι ζωο-
ποιὸν καὶ σωτήριον φάρμακον, ἐδοξάσθη ἡ
φύσις ἡμῶν, καὶ πρὸς ἀφθαρσίαν μετεστοι-
χειώθη, διὸ καὶ ὁ τῶν ἁγίων θάνατος ἑορτά-
ζεται, καὶ ναοὶ αὐτοῖς ἐγείρονται, καὶ εἰκό-
νες ἀναγράφονται. γινωσκέτω οὖν πᾶς ἄν-
θρωπος, ὡς ὁ τὴν εἰκόνα τὴν πρὸς δόξαν καὶ
ὑπόμνησιν τοῦ Χριστοῦ, ἢ τῆς τούτου μητρὸς τῆς
ἁγίας θεοτόκου, ἢ τινὸς τῶν ἁγίων, καὶ πρὸς
αἰσχύνην τοῦ διαβόλου καὶ ἧτταν αὐτοῦ, καὶ τῶν
δαιμόνων αὐτοῦ ἐκ θείου πόθου καὶ ζήλου γενομέ-
νην, καταλύειν ἐπιχειρῶν, καὶ μὴ προσκυνῶν
καὶ τιμῶν καὶ ἀσπαζόμενος ὡς εἰκόνα τιμίαν,

καὶ οὐχ ὡς θεόν, ἐχθρός ἐστι τοῦ χριστοῦ καὶ τῆς ἁγίας θεοτόκου καὶ τῶν ἁγίων, καὶ ἐκδικητὴς τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ. ἔργῳ ἐπιδεικνύμενος τὴν λύπην, ὅτι ὁ θεὸς καὶ οἱ ἅγιοι αὐτοῦ τιμῶνται καὶ δοξάζονται, ὁ δὲ διάβολος καταισχύνεται. ἡ γὰρ εἰκὼν, θρίαμβός ἐστι καὶ φανέρωσις καὶ στηλογραφία, εἰς μνήμην τῆς νίκης τῶν ἀξιωσάντων καὶ διαπρεψάντων, καὶ τῆς αἰσχύνης τῶν ἡττηθέντων καὶ καταβληθέντων δαιμόνων. οὐ βασιλέων ἐστὶ νομοθετεῖν τῇ ἐκκλησίᾳ. ὅρα γὰρ τί φησιν ὁ θεῖος ἀπόστολος. καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ. πρῶτον, ἀποστόλους. δεύτερον, προφήτας. τρίτον, ποιμένας καὶ διδασκάλους. πρὸς τὸν καταρτισμὸν τῆς ἐκκλησίας, οὐκ εἶπε βασιλεῖς. Καὶ πάλιν. πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες. Καὶ αὖθις. μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον. ὧν ἀναθεωροῦντες τὴν ἀναστροφὴν, ζηλοῦτε τὴν πίστιν. οὐκ ἐλάλησαν ὑμῖν τὸν λόγον βασιλεῖς, ἀλλὰ ἀπόστολοι καὶ προφῆται, ποιμένες τε καὶ διδάσκαλοι. τῷ Δαβὶδ ἀπειλάμενος ὁ θεὸς, οἰκοδομῆσαι αὐτῷ οἶκον, ἔφη πρὸς αὐτόν. ὅτι οὐκ οἰκοδομήσεις μοι σὺ οἶκον, ἐπειδὴ ἀνὴρ αἱμάτων

σὺ εἶ. ἀπόδοτε πᾶσι τὰς ὀφειλάς. ὁ ἀπόστολος
Ρωμ. ιγ ἀνακέκραγε Παῦλος. τῷ τὴν τιμὴν, τὴν τι-
μήν. τῷ τὸν φόβον, τὸν φόβον. τῷ τὸν φόρον, τὸν
φόρον. τῷ τὸ τέλος, τὸ τέλος. βασιλέων ἐστὶν,
ἡ πολιτικὴ ἐπαρχία. ἡ δὲ ἐκκλησιαστικὴ κα-
τάστασις, ποιμένων καὶ διδασκάλων. λῃστρι-
κὴ ἔφοδός ἐστιν αὕτη ἀδελφοί. ὁ Σαοὺλ τὸ ἱ-
α. βα. 15 μάτιον ἔσχισε τοῦ Σαμουὴλ, καὶ τί πέπονθεν;
ἔσχισε τὴν βασιλείαν αὐτοῦ ὁ θεὸς, καὶ δέδω-
κεν αὐτὴν Δαβὶδ τῷ πρᾳοτάτῳ. τὸν Ἠλίαν
γ. βα. ιθ Ιεζάβελ ἐδίωξε, καὶ ἐξέλιξαν αἱ ὕες καὶ οἱ
κβ΄. κύνες τὸ αἷμα αὐτῆς, καὶ αἱ πόρναι ἐλούσαν-
Μαρκ. ς΄ το ἐν αὐτῷ. Ἡρώδης ἀνεῖλε τὸν Ἰωάννην,
πράξ. ιβ καὶ σκωληκόβρωτος γενόμενος, ἐξέψυξε. καὶ νῦν
ὁ μακάριος Γερμανὸς, ὁ βίῳ καὶ λόγῳ ἐξα-
στράπτων, ἐξεσπάσθη, καὶ ἐξόριστος γέγονε. καὶ
ἕτεροι πλεῖστοι ἐπίσκοποι καὶ πατέρες, ὧν
οὐκ οἴδαμεν τὰ ὀνόματα. οὐ λῃστρικὸν τοῦτο;
ὁ κύριος ὅτε πειραστικῶς αὐτῷ οἱ γραμμα-
τεῖς καὶ οἱ φαρισαῖοι προσήεσαν, ἵνα παγιδεύ-
σωσιν αὐτὸν λόγῳ, καὶ ἐπηρώτησαν αὐτὸν,
Ματ. κβ εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι, πρὸς αὐτοὺς
ἀποκρίνατο. ἀγάγετέ μοι νόμισμα. τῶν δὲ,
ἀγαγόντων, ἔφη. τίνος ἔχει τὴν εἰκόνα; τῶν
δὲ, φησάντων Καίσαρος, λέγει. ἀπόδοτε τὰ
τοῦ Καίσαρος, Καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ

θεῷ. ὑπείκομεν οἱ ὦ βασιλεῦ ἐν τοῖς κατὰ
τὸν βίον πράγμασι. φόροις. τέλεσι. δουλ-
είαις, ἐν οἷς σοὶ τὰ καθ' ἡμᾶς ἐγκεχείρισται.
ἐν δὲ τῇ ἐκκλησιαστικῇ καταστάσει, ἔχομεν
τοὺς ποιμένας, τοὺς λαλήσαντας ἡμῖν τὸν λό-
γον, καὶ τυπώσαντας τὴν ἐκκλησιαστικὴν θεσ-
μοθεσίαν. οὐ μεταίρομεν ὅρια αἰώνια, ἃ ἔθεν-
το οἱ πατέρες ἡμῶν, ἀλλὰ κατέχομεν τὰς πα-
ραδόσεις καθὼς παρελάβομεν. εἰ γὰρ ἀρξόμε-
θα τὴν οἰκοδομὴν τῆς ἐκκλησίας, κἂν ἐν μι-
κρῷ καθαιρεῖν, κατὰ σμικρὸν τὸ πᾶν κατα-
λυθήσεται. κακίζεις τὴν ὕλην καὶ ἄτιμον
ἀποκαλεῖς; οὐκοῦν καὶ μανιχαῖοι. ἀλλ' ἡ θεία
γραφή, καλὴν ταύτην ἀνακηρύττει. φησὶ γὰρ
καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ γεν. α.
καλὰ λίαν. ἐγὼ μὲν οὖν καὶ θεοῦ ποίημα
τὴν ὕλην, καὶ καλὴν ταύτην ὁμολογῶ.
σὺ δὲ, εἰ κακὴν ταύτην λέγεις, ἢ οὐκ ἐκ θεοῦ
ταύτην ὁμολογεῖς, ἢ τῶν κακῶν αἴτιον ποιεῖς
τὸν θεόν. ὅρα οὖν τί φησιν ἡ θεία γραφὴ πε-
ρὶ τῆς ὕλης, ἣν σὺ ἄτιμον ἀποκαλεῖς.
καὶ εἶπε Μωϋσῆς πρὸς πᾶσαν συναγωγὴν Ἐξο. λε′
υἱῶν Ἰσραὴλ λέγων, τοῦτο τὸ ῥῆμα ὃ συνέτα-
ξε κύριος λέγων, λάβετε παρ' ὑμῶν αὐτῶν
ἀφαίρεμα τῷ κυρίῳ, πᾶς ὁ καταδεχόμενος
τῇ καρδίᾳ, οἰσέτωσαν τὰς ἀπαρχὰς τῷ κυρίῳ.

χρυσίον. ἀργύριον. χαλκόν. ὑάκινθον. πορφύραν. κόκκινον διπλοῦν διηνεσμένον. καὶ βύσσον κεκλωσμένην. καὶ τρίχας αἰγείας. καὶ δέρματα κριῶν ἠρυθροδανωμένα. καὶ δέρματα ὑακίνθινα. καὶ ξύλα ἄσηπτα. καὶ ἔλαιον τῆς χρίσεως. καὶ τὸ θυμίαμα τῆς συνθέσεως. καὶ λίθους σαρδίου. καὶ λίθους εἰς τὴν γλυφὴν, εἰς τὴν ἐπωμίδα, καὶ εἰς τὸν ποδήρη. καὶ πᾶς σοφὸς καρδίᾳ ἐν ὑμῖν, ἐλθὼν ἐργαζέσθω πάντα ὅσα συνέταξε κύριος, τὴν σκηνήν. ἰδοὺ δὴ καὶ ὕλη τιμᾶται, ἡ καθ' ὑμᾶς ἄτιμος. τί γὰρ τριχῶν αἰγείων εὐτελέστερον, καὶ χρωμάτων; ἢ οὐ χρώματα τὸ κόκκινον καὶ ἡ πορφύρα καὶ ἡ ὑάκινθος; ἰδοὺ δὴ καὶ ἔργα χειρῶν ἀνθρώπων, καὶ ὁμοίωμα χερουβίμ. καὶ αὐτὴ δὲ ἡ σκηνὴ ἡ ἅπασα, εἰκὼν ἦν, ὅρα γάρ φησιν ὁ θεὸς τῷ

Εξο.κε'. Μωϋσῇ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει, καὶ ὅμως κυκλόθεν προσεκυνεῖτο ὑπὸ παντὸς τοῦ Ἰσραήλ. ἔτι δὲ τὰ χερουβὶμ οὐ κατενώπιον ἦσαν τοῦ λαοῦ; καὶ ἡ κιβωτὸς, καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ στάμνος ἡ χρυσῆ, καὶ ἡ ῥάβδος, πρὸς ἃ βλέπων ὁ λαὸς προσεκύνει; οὐ προσκυνῶ τῇ ὕλῃ, προσκυνῶ δὲ τὸν τῆς ὕλης δημιουργὸν, τὸν ὕλην δι' ἐμὲ γενόμενον, καὶ ἐν ὕλῃ τὴν

κατοίκησιν θέμενον, καὶ δι' ὕλης τὴν σωτηρίαν μου ἐργασάμενον. ὁ γὰρ λόγος, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. πᾶσι δὲ δῆλον, ὅτι ἡ σὰρξ, ὕλη καὶ κτίσμα ἐστί. σέβω οὖν τὴν ὕλην, καὶ δι' αἰδοῦς ἄγω, καὶ προσκυνῶ, δι' ἧς ἡ σωτηρία μου γέγονε. σέβω δὲ, οὐχ ὡς θεὸν, ἀλλ' ὡς θείας ἐνεργείας καὶ χάριτος ἔμπλεων. ἢ οὐχ ὕλη τὸ τοῦ σταυροῦ ξύλον, τὸ τρισόλβιόν τε καὶ τρισμακάριστον; ἢ οὐχ ὕλη τὸ ὄρος τὸ σεπτὸν καὶ ἅγιον; ὁ τοῦ κρανίου τόπος; ἢ οὐχ ὕλη ἡ ζωηφόρος πέτρα, ὁ τάφος ὁ ἅγιος, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως; ἢ οὐχ ὕλη τὸ μέλαν, καὶ τὰ τῶν εὐαγγελίων δέρματα; ἢ οὐχ ὕλη ἡ ζωοποιὸς τράπεζα, ἡ τὸν ἄρτον ἡμῖν τῆς ζωῆς χορηγοῦσα; ἢ οὐχ ὕλη ὁ χρυσός τε καὶ ἄργυρος, ἐξ ὧν σταυροί τε καὶ πίνακες ἅγιοι κατασκευάζονται, καὶ ποτήρια; ἢ οὐχ ὕλη πρὸ τούτων ἁπάντων, τὸ τοῦ κυρίου μου σῶμα καὶ αἷμα; ἢ πάντων τούτων ἄνελε τὸ σέβας καὶ τὴν προσκύνησιν, ἢ παραχώρει τῇ ἐκκλησιαστικῇ παραδόσει καὶ τὴν τῶν εἰκόνων προσκύνησιν, θεοῦ καὶ φίλων θεοῦ ὀνόματι ἁγιαζομένων, καὶ διὰ τοῦτο θείου πνεύματος ἐπισκιαζομένων χάριτι. εἰ δὲ διὰ τὸν νόμον τὰς εἰκόνας ἀπαγορεύεις, ὥρα σοι καὶ σαββα-

τίξειν καὶ περιτέμνεσθαι, ταῦτα γὰρ ἀπαρα-
χωρήτως ὁ νόμος κελεύει, καὶ πάντα τὸν νό-
μον τηρεῖν, καὶ μὴ ἑορτάζειν τὸ πάσχα κυ-
ρίου ἔξω Ἱερουσαλήμ. ἀλλὰ γνῶτε, ὡς ἐὰν
τὸν νόμον τηρῆτε, χριστὸς ὑμᾶς οὐδὲν ὠφελή-
σει. ὥρα σοι καὶ τὴν τοῦ ἀδελφοῦ γυναῖκα
πρὸς γάμον ἄγεσθαι, καὶ ἐγείρειν σπέρμα τῷ
ψαλμ. ἀδελφῷ, καὶ μὴ ᾄδειν τὴν ᾠδὴν κυρίου ἐπὶ
ρλς'. γῆς ἀλλοτρίας. ἀλλ' ἄπαγε. οἵτινες γὰρ
Γαλ. ε'. ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε.
ἱστοροῦμεν χριστὸν τὸν βασιλέα καὶ κύριον, οὐ
γυμνοῦντες αὐτὸν τοῦ στρατεύματος, στρα-
τὸς γὰρ τοῦ κυρίου οἱ ἅγιοι. γυμνωσάτω ἑαυ-
τὸν τοῦ οἰκείου στρατεύματος ὁ ἐπίγειος βασι-
λεὺς, καὶ τότε τὸν ἑαυτοῦ βασιλέα καὶ κύριον.
ἀποθέσθω τὴν ἁλουργίδα καὶ τὸ διάδημα,
καὶ τότε τῶν κατὰ τοῦ τυράννου ἀριστευσάν-
των καὶ βασιλευσάντων τῶν παθῶν, τὸ σέ-
βας περιαιρείτω. εἰ γὰρ κληρονόμοι θεοῦ,
καὶ συγκληρονόμοι χριστοῦ, καὶ τῆς θείας δό-
ξης καὶ βασιλείας κοινωνοὶ ἔσονται, πῶς
οὐχὶ καὶ τῆς ἐπὶ γῆς δόξης συμμέτοχοι γέ-
Ιω. ιε'. νωνται οἱ φίλοι χριστοῦ; οὐ λέγω ὑμᾶς δού-
λους φησὶν ὁ θεός. ὑμεῖς, φίλοι μου ἐστέ. τῆς
οὖν δεδομένης αὐτοῖς παρὰ τῆς ἐκκλησίας
τιμῆς, στερήσομεν αὐτούς; ὢ θρασείας χει-

ρός. ὢ τολμηρᾶς γνώμης· ἀντερούσης θεῷ,
καὶ τοῖς αὐτοῦ ἀντιπραττούσης προστάγμα
σιν. εἰ οὐ προσκυνεῖς εἰκόνι, μηδὲ τῷ υἱῷ τοῦ
θεοῦ προσκύνει· ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου
θεοῦ ζῶσα, καὶ χαρακτὴρ ἀπαράλλακτος.
ὁ ναὸς ὃν ὁ Σολομὼν ᾠκοδόμησεν, ἀλόγων γ. βα. 5
αἵμασιν ἐνεκαινίσθη, καὶ ἀλόγων εἰκόσιν ἐκαλ
λωπίσθη, λεόντων καὶ βοῶν καὶ φοινίκων καὶ
ῥοΐσκων. νῦν δὲ, χριστοῦ αἵματι ἡ ἐκκλησία
ἐγκαινίζεται καὶ τῶν ἁγίων αὐτοῦ· καὶ τῇ
χριστοῦ εἰκόνι καὶ τῶν ἁγίων αὐτοῦ καλλωπί
ζεται. ἢ πάσης εἰκόνος προσκύνησιν ἄνελε,
ἢ μὴ καινοτόμει, μηδὲ μέταιρε ὅρια αἰώνια,
ἃ ἔθεντο οἱ πατέρες σου. οὐ τὰ πρὸ τῆς ἐν
σάρκου παρουσίας χριστοῦ τοῦ θεοῦ ἡμῶν
λέγω, ἀλλὰ τὰ μετὰ τὴν ἐπιδημίαν αὐτοῦ.
περὶ γὰρ τῆς ἐν τῇ παλαιᾷ παραδόσεως μεμ
φόμενος ὁ θεὸς, φησίν. ἔδωκα αὐτοῖς προστά Ιεζ. κ'.
γματα οὐ καλὰ, κατὰ τὴν σκληροκαρδίαν
αὐτῶν. ὥστε μετατεθείσης τῆς ἱερωσύνης, ἐξ
ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. οὐ μό
νον δὲ γράμμασι τὸν ἐκκλησιαστικὸν θεσ-
μὸν παρέδωκαν οἱ αὐτόπται καὶ ὑπηρέται
τοῦ λόγου, ἀλλὰ καὶ ἀγράφοις τισὶ παραδό-
σεσι. πόθεν γὰρ οἴδαμεν τὸν κρανίου τόπον
τὸν ἅγιον; πόθεν τὸ μνῆμα τῆς ζωῆς, οὐ

ταῖς παρὰ πατρὸς ἀγράφως παραλαβόντες;
Ματ. κζ. τὸ μὲν ἐν τόπῳ κρανίου σταυρωθῆναι τὸν κύριον, γέγραπται. καὶ ταφῆναι ἐν μνημείῳ, ὃ ἐλατόμησεν Ἰωσὴφ ἐν τῇ πέτρᾳ. ὅτι δὲ ταῦτα ἐστὶ τὰ νῦν προσκυνούμενα, ἐξ ἀγράφου παραδόσεως οἴδαμεν. καὶ πλεῖστα τούτοις παρόμοια. πόθεν τὸ τρίτον βαπτίζειν, τουτέστι διὰ τριῶν καταδύσεων; πόθεν τὸ κατὰ ἀνατολὰς εὔχεσθαι; πόθεν τὸ προσκυνεῖν σταυρὸν, οὐκ ἐκ τῆς ἀγράφου παραδόσεως; διὸ καὶ ὁ θεῖος ἀπόστολος Παῦλος φησίν. ἄρα
β'. Θεσ. οὖν ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παρα
β'. δόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. πολλῶν τοιγαροῦν ἀγράφως τῇ ἐκκλησίᾳ παραδεδομένων, καὶ μέχρι τοῦ νῦν πεφυλαγμένων, τί περὶ τὰς εἰκόνας σμικρολογεῖτε; Μανιχαῖοι συνέγραψαν τὸ κατὰ Θωμᾶν εὐαγγέλιον, γράψατε καὶ ὑμεῖς τὸ κατὰ Λέοντα εὐαγγέλιον. οὐ δέχομαι βασιλέα, τυραννικῶς τὴν ἱερωσύνην ἁρπάζοντα. οὐ βασιλεῖς ἔλαβον ἐξουσίαν δεσμεῖν καὶ λύειν. οἶδα Οὐάλεντα βασιλέα χριστιανὸν ὀνομαζόμενον, καὶ τὴν ὀρθόδοξον πίστιν διώξαντα, Ζήνωνά τε καὶ Ἀναστάσιον. Ἡράκλειον, καὶ Κωνσταντῖνον τὸν ἐν σικελίᾳ, καὶ Βαρδανίσκην τὸν καὶ φιλιππικόν. οὐ

πείθομαι βασιλικοῖς καὶ ὅσοι διατάττεσθαι
τὴν ἐκκλησίαν, ἀλλὰ πατρικαῖς παραδόσε-
σιν, ἐγγράφοις τε καὶ ἀγράφοις. ὥσπερ
γὰρ ἐν ὅλῳ τῷ κόσμῳ ἐγγράφως ἐκηρύχθη
τὸ εὐαγγέλιον, οὕτως ἐν ὅλῳ τῷ κόσμῳ ἀ-
γράφως παρεδόθη, τὸ εἰκονίζειν χριστὸν τὸν σε-
σαρκωμένον θεὸν, καὶ τοὺς ἁγίους, ὥσπερ καὶ
τὸ προσκυνεῖν τὸν σταυρὸν, καὶ κατὰ ἀνα-
τολὰς ἑστῶτας προσεύχεσθαι. ἃς μέντοι
προσάγεις χρήσεις, οὐ τὴν παρ' ἡμῖν εἰκό-
νων βδελύσσονται τὴν προσκύνησιν, ἀλλὰ τῶν
ταύτας θεοποιούντων ἑλλήνων. οὐ δεῖ τοί-
νυν διὰ τὴν τῶν ἑλλήνων ἄτοπον χρῆσιν, καὶ
τὴν τῆς ἐκκλησίας εὐσεβῶς γινομένην ἀ-
ναιρεῖν. ἐφορκίζουσιν ἐπαοιδοί τε καὶ γόη-
τες, ἐφορκίζει τοὺς κατηχουμένους ἡ ἐκ-
κλησία. ἀλλ' ἐκεῖνοι μὲν, ἐπικαλούμενοι δαί-
μονας. αὕτη δὲ, θεὸν κατὰ δαιμόνων.
ἔθυον δαίμοσιν ἕλληνες, ἀλλὰ καὶ θεῷ
ὁ Ἰσραὴλ, καὶ αἵματα καὶ κνίσας προσέ-
φερε. θύει καὶ ἡ ἐκκλησία θεῷ θυσίαν ἀναί-
μακτον. δαίμοσι τὰς εἰκόνας ἀνετίθεσαν
ἕλληνες, ἀλλὰ καὶ ὁ Ἰσραὴλ ἐθεοποίησε
τὰς εἰκόνας. ἔλεγον γὰρ, οὗτοι οἱ θεοί σου Εξο.
Ἰσραὴλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου,
ἡμεῖς δὲ, ἀληθεῖ θεῷ σαρκωθέντι, καὶ θεοῦ δού-

λοις καὶ φίλοις, δαιμόνων ἀπελαύνουσι στίφη, εἰκόνας ἀνατιθέαμεν. εἰ δὲ λέγεις τὸν μακάριον Ἐπιφάνιον, φανερῶς τὰς παρ' ἡμῖν ἀπαγορεῦσαι εἰκόνας, γνώσθητι ὡς ἐπίπλαστος ὁ λόγος, ἄλλου τινὸς τῷ τοῦ θείου Ἐπιφανίου χρησαμένου ὀνόματι, οἷα πολλὰ συμβαίνει γίνεσθαι. οὐ γὰρ τοῖς συμπατράσιν ὁ πατὴρ μάχεται, οἷς γὰρ ἁγίου πνεύματος μέτοχοι πάντες γεγόνασι. καὶ μάρτυς ἡ αὐτοῦ ἐκκλησία, εἰκόσι καλλωπιζομένη, ἕως οὗ τινὲς κατ' αὐτῆς ἀντεπανέστησαν, καὶ τὴν χριστοῦ διετάραξαν ποίμνην, ποτίσαι τὸν λαὸν τοῦ θεοῦ ἐπιχειρήσαντες ἀνατροπὴν θολεράν. εἰ σταυρὸν, καὶ λόγχην, καὶ κάλαμον, καὶ σπόγγον, δι' ὧν οἱ θεοκτόνοι ἰουδαῖοι τὸν κύριόν μου ἐνύβρισαν καὶ ἀπέκτειναν, ὡς αἴτια σωτηρίας προσκυνῶ καὶ σέβω, τὰς ἐπὶ δόξῃ καὶ μνήμῃ τῶν τοῦ χριστοῦ παθημάτων ἀγαθῷ σκοπῷ ὑπὸ τῶν πιστῶν κατασκευαζομένας εἰκόνας, οὐ προσκυνήσω; εἰ σταυροῦ εἰκόνα ἐξ οἱασοῦν ὕλης κατασκευασθεῖσαν προσκυνῶ, τοῦ σταυρωθέντος καὶ τὸν σταυρὸν σωτήριον δείξαντος, τὴν εἰκόνα μὴ προσκυνήσω; ὢ ἀπανθρωπίας. ὅτι δὲ οὐ τῇ ὕλῃ προσκυνῶ, δῆλον. καταλυθέντος γὰρ τοῦ ἐκτυπώματος τοῦ σταυροῦ, εἰ τύχοι ἐκ ξύλου κατασκευασμένου,

Ἐπιφανίδου τοῦ αἱρετικοῦ

εὐρύνθη, καὶ ἕως οὗ ὁ ἄγριος καὶ ἀνήμερος λέων ἔβρυξε, καὶ τὴν χριστοῦ διετάραξε ποίμνην.

σκευασμένου, πυρὶ τὸ ξύλον παραδίδωμι,
ὁμοίως καὶ τῶν εἰκόνων. Ὅτι δὲ οὐ νέον τὸ
τῶν εἰκόνων ἐφεύρημα, καὶ ἡ τούτων προσκύ
νησις, ἀλλ' ἀρχαία τῆς ἐκκλησίας παράδοσις,
δέχου τῶν γραφικῶν καὶ πατρικῶν χρήσεων
τὸν ἑσμόν. ὁ κύριος ἐν τῷ κατὰ Ματθαῖον
ἱερῷ εὐαγγελίῳ, τάδε φησὶ, τοὺς ἑαυτοῦ μα-
θητὰς μακαρίζων, καὶ σὺν αὐτοῖς, πάντας
τοὺς τῷ κανόνι αὐτῶν στοιχοῦντας, καὶ τοῖς ἴχνε
σιν αὐτῶν ἐπακολουθοῦντας. ὑμῶν δὲ, μα Ματ. ιγ
κάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι. καὶ τὰ
ὦτα ὑμῶν, ὅτι ἀκούουσιν. ἀμὴν γὰρ λέγω ὑ-
μῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι, ἐπεθύ
μησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. καὶ ἀ-
κοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ἐπιπο-
θοῦμεν οὖν καὶ ἡμεῖς ἰδεῖν, ὡς ἰδεῖν δυνατὸν,
βλέπομεν γὰρ ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγμα α. κορ.
τι καὶ ἐν τῇ εἰκόνι, καὶ μακαριζόμεθα. αὐ ιγ'.
τὸς ὁ θεὸς, πρῶτος ἐποίησεν εἰκόνα, καὶ ἔδει
ξεν εἰκόνας, τὸν μὲν γὰρ ἄνθρωπον, κατ' εἰκό
να θεοῦ ἐποίησε. καὶ Ἀβραὰμ δὲ, καὶ Μωϋ γεν. ιη'.
σῆς, καὶ Ἠσαΐας, καὶ πάντες οἱ προφῆται, Εξο. λγ
εἰκόνας εἶδον θεοῦ, καὶ οὐκ αὐτὴν τὴν οὐσίαν
τοῦ θεοῦ. ἡ βάτος, εἰκὼν ἦν τῆς θεομήτορος.
καὶ μέλλοντι τῷ Μωϋσῇ ταύτῃ προσιέναι,
εἶπεν ὁ θεός. ὑπόλυσαι τὸ ὑπόδημα τῶν Εξο. γ'.

ποδῶν σου, ἡ γὰρ γῆ ἐν ᾗ ἕστηκας, γῆ ἁγία ἐστίν. εἰ οὖν γῆ, ἐν ᾗ εἰκὼν τῆς θεοτόκου ὤφθη τῷ Μωϋσῇ, γῆ ἁγία ἐστὶ, πόσῳ μᾶλλον αὐτὴ ἡ εἰκών; οὐ μόνον γὰρ ἁγία, ἀλλὰ τολμῶ λέγειν, καὶ ἁγίων ἁγία. ὁ κύριος ἐρωτήσασι τοῖς
Ματ.ιθ φαρισαίοις, τί οὖν Μωϋσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι τὴν γυναῖκα, ἀπεκρίνατο. ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ' ἀρχῆς δὲ, οὐ γέγονεν οὕτως. κἀγὼ λέγω ὑμῖν, ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν τῶν ἡμῶν Ισραὴλ, εἰδὼς αὐτοὺς τὸ πρὸς εἰδωλολατρείαν εὐόλισθον, ἐπέτρεψεν αὐτοῖς μὴ ποιεῖν εἰκόνας, νυνὶ δὲ οὐχ' οὕτως ἐστὶν, ἑστήκαμεν δὲ βεβαίως ἐν τῇ πέτρᾳ τῆς πίστεως, τὸ φῶς τῆς θεογνωσίας πλουτήσαντες. ἀκούσατε τί φησιν ὁ κύ-
Ματ.κγ ριος. μωροὶ καὶ τυφλοὶ, ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ, καὶ ἐν τῷ κατοικήσαντι αὐτόν. καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. καὶ ὁ ὀμνύων ἐν τῇ εἰκόνι, ὀμνύει ἐν τῷ εἰκονιζομένῳ ὑπ' αὐτῆς. Ὅτι μὲν οὖν ἡ σκηνὴ, καὶ τὸ καταπέτασμα, καὶ ἡ κιβωτὸς, καὶ ἡ στάμνος, καὶ πάντα τὰ ἐν τῇ σκηνῇ, εἰκόνες ἦσαν καὶ τύποι καί ἔργα χειρῶν ἀν-

θρώπων, ἀλλ' ἵνα προσκυνεῖτο ὑπὸ παντὸς Ἰσραὴλ, ἔτι δὲ καὶ τὰ χερουβὶμ τὰ γλυπτὰ, θεοῦ προστάγματι κατεσκευασμένα, ἱκανῶς ἀποδέδεικται. φησὶ γὰρ ὁ θεὸς τῷ Μωϋσῇ. Ἐξο. κε'
ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. Ἄκουε καὶ τοῦ ἀποστόλου Παύλου μαρτυροῦντος, ὅτι χειροποίητα καὶ εἰκόνας προσκυνεῖ Ἰσραὴλ, τοῦ θεοῦ τοῦτο προστάξαντος. εἰ μὲν γὰρ ἦν φησὶν Ἑβρ. η'.
ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα. οἵτινες, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν. ὅρα γὰρ φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. νυνὶ δὲ, διαφορωτέρας τέτυχηκε λειτουργίας, ὅσῳ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. μεμφόμενος γὰρ αὐτοῖς, λέ- Ἱερ. ιγ.
γει. ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος, καὶ καὶ Ἑβρ. η
συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν. οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν.

ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Καὶ με-
τ' ὀλίγα, ἐν τῷ λέγειν καινήν, πεπαλαίωκε
τὴν πρώτην. τὸ δὲ παλαιούμενον καὶ γη-
Εβρ. θ' ράσκον, ἐγγὺς ἀφανισμοῦ. εἶχε μὲν οὖν ἡ
πρώτη σκηνή, δικαιώματα λατρείας, τό, τε
ἅγιον κοσμικόν, σκηνὴ γὰρ κατεσκευάσθη ἡ
πρώτη. ἐν ᾗ, ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ
ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια.
μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνή,
ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυ-
μιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης,
περικεκαλυμμένην πάντοθεν χρυσίῳ. ἐν
ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβ-
δος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες
τῆς διαθήκης. ὑποκάτω δὲ αὐτῆς, χερουβὶμ
δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον. Καὶ πά-
Εβρ. θ'. λιν. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ
χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐ-
Εβρ. ι'. τὸν τὸν οὐρανόν. Καὶ μεθ' ἕτερα. Σκιὰν γὰρ
ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ
αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων. Ὅρα ὅτι
καὶ ὁ νόμος, καὶ πάντα τὰ κατ' αὐτόν, πᾶ-
σά τε ἡ καθ' ἡμᾶς λατρεία, χειροποίητα εἰσὶν
ἅγια, δι' ὕλης προσάγοντα ἡμᾶς τῷ ἀΰλῳ
θεῷ. καὶ ὁ μὲν νόμος καὶ πάντα τὰ κατὰ
τὸν νόμον, σκιαγραφία τις ἦν τῆς μελλού-

σης εἰκόνος, τουτέστι τῆς καθ᾽ ἡμᾶς λατρείας·
ἡ δὲ καθ᾽ ἡμᾶς λατρεία, εἰκὼν τῶν μελλόν-
των ἀγαθῶν. αὐτὰ δὲ τὰ πράγματα, ἡ
ἄνω Ἱερουσαλήμ, ἡ ἄϋλος καὶ ἀχειροποίητος,
καθὼς φησιν ὁ αὐτὸς θεῖος ἀπόστολος· οὐ γὰρ Εβρ. ιγ
ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλου-
σαν ἐπιζητοῦμεν, ἥτις ἐστὶν ἡ ἄνω Ἱερουσαλήμ,
ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. πάντα
γὰρ τά τε κατὰ τὸν νόμον, καὶ τὰ κατὰ τὴν ἡμε-
τέραν λατρείαν, ἐκείνης χάριν ἐγένοντο. αὐ-
τῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Μαρτυρίαι παλαιῶν καὶ δοκίμων
ἁγίων πατέρων περὶ εἰκόνων.

Τοῦ ἁγίου Διονυσίου τοῦ ἀρεοπαγίτου,
ἐκ τῆς πρὸς Τίτον ἐπιστολῆς.

Χρὴ τοιγαροῦν καὶ ἡμᾶς, ἀντὶ τῆς δημώ-
δους περὶ αὐτῶν ὑπολήψεως, εἴσω τῶν ἱε-
ρῶν συμβόλων ἱεροπρεπῶς διαλαβεῖν, καὶ
μὴ δὲ ἀτιμάζειν αὐτά, τῶν θείων ὄντα χα-
ρακτήρων ἔκγονα καὶ ἀποτυπώματα, καὶ εἰ-
κόνας ἐμφανεῖς τῶν ἀπορρήτων καὶ ὑπερ-
φυῶν θεαμάτων. Σχόλιον.
Ἰδέ, ὡς ἔφη μὴ ἀτιμάζειν τὰς τῶν τιμίων
εἰκόνας.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ θείων ὀνομάτων.

Ταύτης καὶ ἡμεῖς μεμυήμεθα, νῦν μὲν ἀνα-

λόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων, τῆς τῶν λογίων καὶ ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας, αἰσθητοῖς τὰ νοητὰ, καὶ τοῖς οὖσι τὰ ὑπερούσια περικαλυπτούσης, καὶ μορφὰς καὶ τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ τὴν ὑπερφυᾶ καὶ ἀσχημάτιστον ἁπλότητα, τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων πληθυνούσης τε καὶ διαπλαττούσης.

Σχόλιον.

Εἰ φιλανθρωπίας ἐστὶ, τὸ τοῖς ἀτυπώτοις καὶ ἀμορφώτοις καὶ τοῖς ἁπλοῖς καὶ ἀσχηματίστοις μορφὰς καὶ τύπους περιτιθέναι πρὸς τὴν ἡμετέραν ἀναλογίαν καὶ χειραγωγίαν, πῶς τὰ μορφαῖς καὶ τύποις καὶ σχήμασιν ὁραθέντα, μὴ ἀναλόγως ἡμῖν εἰκονίσομεν, πρὸς μνήμην, καὶ τὴν ἐκ τῆς μνήμης πρὸς ζῆλον κίνησιν;

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας.

Ἀλλ᾽ αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τε εἰσὶ, καὶ νοητὴ καὶ ὑπερκόσμιος ἐστὶν ἡ κατ᾽ αὐτὰς ἱεραρχία, τὴν δὲ καθ᾽ ἡμᾶς, θεωροῦμεν ἀναλόγως ἡμῖν αὐτοῖς, τῇ τῶν αἰσθητῶν συμβόλων ποικιλίᾳ πληθυνομένην. ὑφ᾽ ὧν ἱεραρχικῶς ἐπὶ τὴν ἑνοειδῆ θέωσιν ἐν συμ-

μετρίᾳ τῇ καθ' ἡμᾶς ἀναγόμεθα, θεόν τε καὶ θείαν ἀρετὴν, αἳ μὲν ὡς νόες νοοῦσι κατὰ τὸ αὐταῖς θεμιτὸν· ἡμεῖς δὲ, αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας ὡς δυνατὸν ἀναγόμεθα θεωρίας. Σχόλιον.

Εἰ τοίνυν ἀναλόγως ἡμῖν αὐτοῖς, αἰσθηταῖς εἰκόσιν ἐπὶ τὴν θείαν καὶ ἄϋλον ἀναγόμεθα θεωρίαν, καὶ φιλανθρώπως ἡ θεία πρόνοια τοῖς ἀσχηματίστοις καὶ ἀτυπώτοις, τοὺς τύπους καὶ σχήματα τῆς ἡμῶν ἕνεκεν χειραγωγίας περιτίθησι, τί ἀπρεπὲς τὸν σχήματι καὶ μορφῇ ὑποκύψαντα φιλανθρώπως δι' ἡμᾶς, εἰκονίζειν ἀναλόγως ἡμῖν αὐτοῖς;

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν μακάριον Βαρλαὰμ τὸν μάρτυρα λόγου, Οὗ ἡ ἀρχὴ, πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι.

Ἀνάστητέ μοι νῦν ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα, ταῖς ὑμετέραις μεγαλύνατε τέχναις, ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα, τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ. χαίρω τὴν τοιαύτην τῆς ὑμετέρας ἰσχύος σήμερον ἡττώμενος νίκην. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ

ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην. ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες, καὶ νῦν ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι. φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης χριστὸς, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίων περὶ τοῦ ἁγίου πνεύματος, ἀπὸ κεφαλαίου, ιη'.

Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς, οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται. ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία, μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία, μία καὶ οὐ πολλαὶ, διότι ἡ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς ὁ υἱός. καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτω καὶ ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως, ἐν τῇ κοινωνίᾳ τῆς θεότητος ἐστὶν ἡ ἕνωσις.

Σχόλιον.

Εἰ ἡ εἰκὼν τοῦ βασιλέως ἐστὶ, βασιλεὺς, καὶ ἡ εἰκὼν τοῦ χριστοῦ, χριστός. καὶ ἡ εἰκὼν τοῦ ἁγίου,

ἅγιος. καὶ οὔτε τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται, ἀλλ' ἡ δόξα τῆς εἰκόνος τοῦ εἰκονιζομένου γίνεται. δεδοίκασιν οἱ δαίμονες τοὺς ἁγίους, καὶ τὴν σκιὰν αὐτῶν δραπετεύουσι, σκιὰ δὲ καὶ ἡ εἰκών. καὶ ταύτην ποιῶ, ὡς δαιμόνων ἐλάτειραν. εἰ δὲ χρῆναι λέγεις νοερῶς μόνῳ τῷ θεῷ συνάπτεσθαι, ἄνελε πάντα τὰ σωματικά. τὰ φῶτα. τὸ εὐῶδες θυμίαμα. αὐτὴν τὴν διὰ φωνῆς προσευχήν. αὐτὰ τὰ ἐξ ὕλης τελούμενα θεῖα μυστήρια. τὸν ἄρτον. τὸν οἶνον. τὸ τῆς χρίσεως ἔλαιον. τοῦ σταυροῦ τὸ ἐκτύπωμα. ταῦτα γὰρ πάντα, ὕλη. ὁ σταυρός. ὁ σπόγγος. καὶ κάλαμος. ἡ τὴν ζωηφόρον πλευρὰν νύξασα λόγχη. ἢ τούτων πάντων ἄνελε τὸ σέβας, ὅπερ ἀδύνατον, ἢ μὴ ἀπαναίνου μηδὲ τὴν τῶν εἰκόνων τιμήν. χάρις δίδοται θεία ταῖς ὕλαις, διὰ τῆς τῶν εἰκονιζομένων προσηγορίας. ὥσπερ λιτὸν ἡ κογχύλη καθ' ἑαυτὴν καὶ ἡ μέταξα, καὶ τὸ ἐξ ἀμφοῖν ἐξυφασμένον ἱμάτιον, καὶ καθ' ἑαυτὸ οὐδεμίαν ἔχει τιμήν, ἂν δὲ βασιλεὺς τοῦτο περιθῆται, ἐκ τῆς προσούσης τῷ ἠμφιεσμένῳ τιμῆς τῷ ἀμφιάσματι μεταδίδοται, οὕτως αἱ ὕλαι, αὐταὶ μὲν καθ' ἑαυτάς, ἀπροσκύνητοι, ἂν δὲ χάριτος εἴη πλήρης ὁ εἰκονιζόμενος, μέτοχοι χάριτος γίνονται κατὰ

ἀναλογίαν τῆς πίστεως. εἶδον οἱ ἀπόστολοι τὸν κύριον σωματικοῖς ὀφθαλμοῖς. καὶ τοὺς ἀποστόλους, ἕτεροι. καὶ τοὺς μάρτυρας, ἕτεροι. ποθῶ κἀγὼ τούτους ὁρᾶν ψυχῇ τε καὶ σώματι, καὶ ἔχειν ἀλεξίκακον φάρμακον, ἐπεὶ δὲ πολλοῖς ἔκκειμαι. καὶ ὁρῶν, προσκυνῶ τὸ ὁρώμενον, οὐχ ὡς θεὸν, ἀλλ' ὡς τιμίου εἰκόνισμα τίμιον. σὺ τυχὸν ὑψηλός τις καὶ ἄϋλος, καὶ ὑπὲρ τὸ σῶμα γενόμενος, καὶ οἷον ἄσαρκος, καταπτύεις πᾶν τὸ ὁρώμενον. ἀλλ' ἐγὼ, ἐπεὶ ἄνθρωπος εἰμὶ, καὶ σῶμα περίκειμαι, ποθῶ καὶ σωματικῶς ὁμιλεῖν καὶ ὁρᾶν τὰ ἅγια. συγκατάβηθι τῷ ταπεινῷ μου φρονήματι ὁ ὑψηλὸς, ἵνα σου τηρήσῃς τὸ ὑψηλόν. ἀποδέχεται χριστὸς τὸν πρὸς αὐτόν μου πόθον, καὶ τοὺς οἰκείους αὐτοῦ, χαίρει γὰρ δεσπότης ἐγκωμιαζομένου δούλου εὐγνώμονος, ὁ μέγας ἔφη Βασίλειος, ἐγκωμιάζων τοὺς τεσσαράκοντα μάρτυρας. Ἄθρει δὲ, οἷα καὶ εἰς Γόρδιον τὸν ἀοίδιμον, τῷ λόγῳ γεραίρων φησίν.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς Γόρδιον τὸν μάρτυρα λόγου.

Εὐφραίνονται λαοὶ εὐφροσύνην πνευματικὴν ἐπὶ μόνῃ τῇ ὑπομνήσει τῶν τοῖς δικαίοις κατορθωμένων, εἰς ζῆλον καὶ μίμησιν τῶν ἀγαθῶν ἀφ' ὧν ἀκούουσιν ἐναγόμενοι. ἡ γὰρ

τῶν εὐπολιτευσαμένων ἀνδρῶν ἱστορία, οἷόν τι φῶς
τοῖς σωζομένοις πρὸς τὴν τοῦ βίου ὁδὸν ἐμποιεῖ.
Καὶ μετ' ὀλίγα. ὥστε ὅταν διηγώμεθα τοὺς
βίους τῶν διαπρεψάντων ἐν εὐσεβείᾳ, δοξά-
ζομεν πρῶτον τὸν δεσπότην διὰ τῶν δούλων,
ἐγκωμιάζομεν δὲ τοὺς δικαίους διὰ τῆς μαρ-
τυρίας ὧν ἴσμεν, εὐφραίνομεν δὲ τοὺς λαοὺς
διὰ τῆς ἀκοῆς τῶν καλῶν. Σχόλιον.

Ὅρα, ὡς θεοῦ μὲν δόξαν, τῶν δὲ ἁγίων, ἐγκώ-
μιον, τῶν δὲ λαῶν εὐφροσύνην καὶ σωτηρίαν,
ἡ μνήμη τῶν ἁγίων συνίστησι. τί οὖν ταύτην
ἀφαιρεῖς; Ὅτι δὲ διὰ λόγου καὶ εἰκόνων ἡ
μνήμη γίνεται, φησὶν ὁ αὐτὸς θεῖος Βασίλειος.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ αὐτοῦ λόγου τοῦ
Εἰς Γόρδιον τὸν μάρτυρα.

Ὥσπερ γὰρ τῷ πυρὶ, αὐτομάτως ἕπεται τὸ φωτί-
ζειν, καὶ τῷ μύρῳ τὸ εὐωδεῖν, οὕτω καὶ ταῖς ἀγα-
θαῖς πράξεσιν, ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέ-
λιμον, καίτοι οὐδὲ τοῦτο μικρὸν, ἀκριβῶς τυ-
χεῖν τῆς ἀληθείας τῶν τότε, ἀμυδρὰ γάρ τις μνή-
μη εἰς ἡμᾶς διεδόθη, τὰς ἐπὶ τῶν ἀγώνων ἀνδρα-
γαθίας τοῦ ἀνδρὸς διασώζουσα. καί πως δοκεῖ
τὸ καθ' ἡμᾶς, τῷ τῶν ζωγράφων προσεοικέναι.
καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν ἐξ εἰκόνων μεταγράφω-
σι τὰς εἰκόνας, πλεῖστον ὡς εἰκὸς τῶν ἀρχετύ-
πων ἀπολιμπάνονται. καὶ ἡμᾶς, αὐτῆς τῆς

διὰ τῶν πραγμάτων ἀπαλειφθέντας, κίνδυνος οὐ μικρὸς τὴν ἀλήθειαν ἐλαττῶσαι. Καὶ ὧδε τέλος τοῦ λόγου. ὡς γὰρ τὸν ἥλιον ἀεὶ καθορῶντες, ἀεὶ θαυμάζομεν, οὕτω καὶ τοῦ ἀνδρὸς ἐκείνου ἀεὶ νεαρὰν τὴν μνήμην ἔχομεν.

Σχόλιον.

Δῆλον ὡς ἀεὶ καθορῶντες, διά τε λόγου καὶ εἰκονίσματος.

Καὶ ἐν λόγῳ δὲ τῷ εἰς τοὺς τεσσαράκοντα ἁγίους μάρτυρας, ταῦτα φησί.

Μαρτύρων δὲ μνήμης, τίς ἂν γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας. Καὶ πάλιν.

Μακάριζον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει, καὶ ἐκβῇς, χωρὶς διωγμοῦ, χωρὶς πυρὸς, χωρὶς μαστίγων, τῶν αὐτῶν ἐκείνοις ἐπαίνων ἠξιωμένος.

Πῶς οὖν με ἀπείργεις τῆς τῶν ἁγίων τιμῆς, καὶ φθονεῖς μοι τῆς σωτηρίας; Ὅτι δὲ συνεζευγμένην οἶδε τῷ λόγῳ τὴν διὰ τῶν χρωμάτων μορφὴν, ἄκουε αὐτοῦ τοῦ πατρὸς, μετ' ὀλίγα φάσκοντος.

Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες, διὰ τῆς ὑπομνήσεως, κοινὴν τὴν ἀπ' αὐτῶν ὠφέλειαν τοῖς παροῦσι κατασκευασώμεθα, προ-

διέξαντες πᾶσιν ὥσπερ ἐν γραφῇ τὰς τῶν
ἀνδρῶν ἀριστείας. Σχόλιον.

Ὁρᾷς, ὅσον εἰκόνος καὶ λόγου τὸ ἔργον; ὡς ἐν
γραφῇ γὰρ ἔφη προδιέξωμεν τῷ λόγῳ.

Καὶ πάλιν ἐχόμενα τοῦ λόγου. ἐπεὶ καὶ πο-
λέμων ἀνδραγαθήματα, καὶ λογογράφοι
πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ
μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίνα-
ξιν ἐγχαράττοντες, καὶ πολλοὺς ἐπήγειραν
πρὸς ἀνδρείαν ἑκάτεροι, ἃ γὰρ ὁ λόγος τῆς
ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γρα-
φικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν.

Τί τούτων τηλαυγέστερον πρὸς ἀπόδειξιν,
ὅτι βίβλοι τοῖς ἀγραμμάτοις εἰσὶν αἱ εἰκό-
νες, καὶ τῆς τῶν ἁγίων τιμῆς ἀσίγητοι κήρυ-
κες, ἐν ἀήχῳ φωνῇ τοὺς ὁρῶντας διδάσκου-
σαι, καὶ τὴν ὅρασιν ἁγιάζουσαι; οὐκ εὐπο-
ρῶ βίβλου. οὐ σχολὴν ἄγω πρὸς τὴν ἀνάγνω-
σιν. εἴσειμι εἰς τὸ κοινὸν τῶν ψυχῶν ἰατρεῖον
τὴν ἐκκλησίαν, ὥσπερ ἀκάνθαις τοῖς λογισ-
μοῖς συμπνιγόμενος. ἕλκει με πρὸς θέαν, τῆς
γραφῆς τὸ ἄνθος, καὶ ὡς λειμὼν τέρπει τὴν
ὅρασιν, καὶ λεληθότως ἐναφίησι τῇ ψυχῇ
δόξαν θεοῦ. τεθέαμαι τὴν καρτερίαν τοῦ μάρ
τυρος, τῶν στεφάνων τὴν ἀνταπόδοσιν, καὶ ὡς
πυρὶ πρὸς ζῆλον ἐξάπτομαι τῇ προθυμίᾳ,

καὶ πίπτων προσκυνῶ τῷ θεῷ διὰ τοῦ μάρτυρος, καὶ λαμβάνω τὴν σωτηρίαν. οὐκ ἀκήκοας τοῦ αὐτοῦ θεοφόρου πατρὸς, λέγοντος ἐν τῷ εἰς τὴν ἀρχὴν τῶν ψαλμῶν λόγῳ, ὅτι γινώσκον τὸ πνεῦμα τὸ ἅγιον, ὅτι δυσάγωγον πρὸς ἀρετὴν καὶ ῥάθυμον τὸ γένος τῶν ἀνθρώπων, τὸ μέλος ταῖς ψαλμῳδίαις ἐγκατέμιξεν; τί φής; οὐ γράφομεν καὶ λόγῳ καὶ χρώμασι τὸ τῶν μαρτύρων μαρτύριον; καὶ ὀφθαλμοῖς καὶ χείλεσι περιπτυσσόμεθα, τὸ θαυμαστὸν καὶ ἀγγέλοις καὶ πάσῃ τῇ κτίσει, ὀδυνηρὸν δὲ τῷ διαβόλῳ, καὶ φοβερὸν δαίμοσιν, ὡς αὐτὸς ὁ φωστὴρ τῆς ἐκκλησίας ἔφησεν; Οἷα δέ φησι πρὸς τῷ τέλει τοῦ λόγου, ἐγκωμιάζων τοὺς τεσσαράκοντα μάρτυρας. Ὦ χορὸς ἅγιος. ὦ σύνταγμα ἱερόν. ὦ συνασπισμὸς ἀρραγής. ὦ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων. ἀγαθοὶ κοινωνοὶ φροντίδων. δεήσεων συνεργοί. πρεσβευταὶ δυνατώτατοι. ἀστέρες τῆς οἰκουμένης. ἄνθη τῶν ἐκκλησιῶν. ἐγὼ δέ φημι, νοητά τε καὶ αἰσθητά. ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. ἠνοίγησαν ὑμῖν παραδείσου πύλαι. ἄξιον θέαμα τῇ στρατιᾷ τῶν ἀγγέλων. ἄξιον πατριάρχαις. προφήταις. δικαίοις. πῶς οὖν μὴ ποθήσω ἰδεῖν, ὃ ἰδεῖν ποθοῦσιν

ἄγγελοι; Σαφῶς δὲ τούτοις, καὶ ὁ τούτου ἀδελφὸς καὶ ὁμογνώμων Γρηγόριος, ὁ τῆς νυσσέων ἐπίσκοπος, φησίν·

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου νύσσης, ἐκ τοῦ ἀναπληρωματικοῦ, τουτέστι τοῦ περὶ κατασκευῆς τοῦ ἀνθρώπου, κεφαλαίου τετάρτου.

Ὥσπερ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν, οἱ τὰς εἰκόνας τῶν κρατούντων κατασκευάζοντες, τόν τε χαρακτῆρα τῆς μορφῆς ἀναμάσσονται, καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ τὴν συνήθειαν καὶ εἰκὼν καὶ βασιλεύς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο, οἷόν τις ἔμψυχος εἰκὼν ἀνεστάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας καὶ τοῦ ὀνόματος.

Τοῦ αὐτοῦ ἐκ τοῦ πέμπτου κεφαλαίου τῆς αὐτῆς πραγματείας.

Τὸ δὲ θεῖον κάλλος, οὐ σχήματι τινὶ καὶ μορφῆς εὐμοιρίᾳ διά τινος εὐχροίας ἐναγλαΐζεται, ἀλλ' ἐν ἀφράστῳ μακαριότητι κατὰ ἀρετὴν θεωρεῖται. ὥσπερ τοίνυν, τὰς ἀνθρωπίνας μορφὰς, διὰ χρωμάτων τινῶν ἐπὶ τοὺς πίνακας οἱ γραφεῖς μεταφέρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους βαφὰς ἐπαλείφοντες τῷ μιμήματι, ὡς ἂν δι' ἀκριβείας τὸ ἀρχέτυ-

που κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα.

Σχόλιον. Ορα, ὡς τὸ μὲν θεῖον κάλλος, οὐ σχήματι τινὶ διαλάμπει οὐδὲ χροιᾶς ἐναγλαΐζεται, καὶ διὰ τοῦτο οὐκ εἰκονίζεται, ἡ δὲ ἀνθρωπίνη μορφὴ, διὰ χρωμάτων ἐπὶ τοῦ πίνακος μεταφέρεται. εἰ τοίνυν ὁ υἱὸς τοῦ θεοῦ ἐν ἀνθρώπου μορφῇ

Φιλιππ. β'. γέγονε, μορφὴν δούλου λαβὼν, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, πῶς οὐκ εἰκονισθήσεται; καὶ εἰ κατὰ συνήθειαν λέγεται ἡ τοῦ βασιλέως εἰκὼν βασιλεὺς, καὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὡς φησὶν ὁ θεῖος Βασίλειος, πῶς ἡ εἰκὼν οὐ τιμηθήσεται, καὶ προσκυνηθήσεται, οὐχ ὡς θεὸς, ἀλλ' ὡς θεοῦ σεσαρκωμένου εἰκών;

Τοῦ αὐτοῦ, ἀπὸ λόγου ῥηθέντος ἐν κωνσταντινουπόλει περὶ θεότητος υἱοῦ καὶ πνεύματος, καὶ εἰς τὸν Αβραάμ, λόγος, μα'.

Οὗ ἡ ἀρχὴ, οἶόν τι πάσχουσιν.

Ενταῦθα δεσμοῖς πρότερον διαλαμβάνει ὁ πατὴρ τὸν παῖδα. εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. πρόκειται ὁ Ισαὰκ παρ' αὐτῷ τῷ θυσιαστηρίῳ, ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιηγμένας ἔχων εἰς τὰ ὀπίσω τὰς χεῖρας.

ὁ δὲ,

ὁ δὲ, ἐπιβεβηκὼς κατόπιν τῶ ποδὶ τῆς ἀγκύλης, καὶ τῇ ἀριστερᾷ χειρὶ τὴν κόμην τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ, ἐλεεινῶς πρὸς αὐτὸν ἀναβλέποντι, καὶ τὴν δεξιὰν καθωπλισμένος τῷ ξίφει, πρὸς τὴν σφαγὴν κατευθύνει. καὶ ἅπτεται ἤδη τοῦ σώματος ἡ τοῦ ξίφους ἀκμὴ, καὶ τότε αὐτῷ γίνεται θεόθεν φωνὴ, τὸ ἔργον κωλύουσα.

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τῆς ἑρμηνείας τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Καὶ πῶς εἰκὼν τοῦ δευτέρου τὸ πρῶτον, ὁ Μελχισεδὲκ τοῦ χριστοῦ; ὥσπερ ἂν τις εἴποι, σκιὰ τῆς γραφῆς τὸ ἐν σώματι, τὸ πρὸ ταύτης σκίασμα τῆς γραφέως. διαφέρει γὰρ ὁ μὲν νόμος, καλεῖται σκιά. ἡ δὲ χάρις, ἀλήθεια. πράγματα δὲ, τὰ μέλλοντα. ὥστε, ὁ μὲν νόμος καὶ ὁ Μελχισεδὲκ, προσκίασμα τῆς ἐν χρώμασι γραφῆς. ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια, ἡ ἐν σώματι γραφή. τὰ δὲ πράγματα, τοῦ μέλλοντος αἰῶνος. ὡς εἶναι τὴν παλαιὰν, τύπου τύπον. καὶ τὴν νέαν, τῶν πραγμάτων τύπον.

Λεοντίου νεαπόλεως τῆς κύπρου, ἐκ τοῦ κατὰ ἰουδαίων λόγου, περὶ τῆς προσκυνήσεως τῷ σταυρῷ τοῦ χριστοῦ, καὶ ταῖς εἰκόσι τῶν ἁγίων, καὶ ἀλλήλοις. καὶ περὶ τῶν λειψάνων τῶν ἁγίων.

Εἰ δὲ ἐμοὶ ἐγκαλῆς πάλιν ὁ ἰουδαῖος, λέγων
ὅτι ὡς θεὸν προσκυνῶ τὸ ξύλον τοῦ σταυροῦ,
διατί οὐκ ἐγκαλεῖς τῷ Ἰακὼβ προσκυνήσαντι
ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου; ἀλλὰ πρόδηλον,
ὅτι οὐ τὸ ξύλον τιμῶν προσεκύνησεν, ἀλλὰ
διὰ τοῦ ξύλου τῷ Ἰωσὴφ προσεκύνησεν, ὥσπερ
καὶ ἡμεῖς διὰ τοῦ σταυροῦ, τὸν χριστὸν ἀλλ' οὐ
τὸ ξύλον δοξάζομεν. Εἰ οὖν τὸν τοῦ σταυροῦ
τύπον προσκυνοῦμεν, εἰκόνα τοῦ σταυροῦ ποιοῦν-
τες ἐξ οἱασοῦν ὕλης, πῶς τοῦ σταυρωθέντος εἰκό-
να μὴ προσκυνήσωμεν; Καὶ πάλιν τοῦ αὐτοῦ
Λεοντίου. ἐπεὶ καὶ Ἀβραὰμ τοῖς πωλήσασιν αὐτῷ
τὸν τάφον, ἀσεβέσιν ἀνθρώποις προσεκύνησε,
καὶ γόνυ ἔκαμψεν ἐπὶ τὴν γῆν, ἀλλ' οὐχ ὡς θεοὺς
αὐτοὺς προσεκύνησε. Καὶ πάλιν. ὁ Ἰακὼβ τὸν
Φαραὼ ηὐλόγησεν, ἀσεβῆ καὶ εἰδωλολάτρην
ὄντα, ἀλλ' οὐχ ὡς θεὸν αὐτὸν ηὐλόγησε. Καὶ
πάλιν. τὸν Ἡσαῦ πεσὼν προσεκύνησεν, ἀλλ'
οὐχ ὡς θεὸν προσεκύνησε. Καὶ πάλιν. πῶς
ἐντέλλεται ἡμῖν ὁ θεὸς προσκυνεῖν καὶ τὴν γῆν
καὶ τὰ ὄρη; λέγει γάρ. ὑψοῦτε κύριον τὸν θεὸν
ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ.
Καὶ πάλιν. προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν πο-
δῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι, τουτέστι τῇ γῇ. Καὶ
πάλιν αὐτό, φησι διὰ τοῦ προφήτου. ὁ οὐρα-
νός μοι θρόνος, ἡ δὲ γῆ, ὑποπόδιον τῶν πο-

δῶν μου λέγει κύριος. πῶς δὲ Μωϋσῆς προ-
σεκύνησεν Ἰοθὸρ εἰδωλολάτρῃ ὄντι, καὶ Δανιὴλ
Ναβουχοδονόσορ; πῶς ἐμοὶ ἐγκαλεῖς ὅτι ἡ-
μῶν καὶ προσκυνοῦμεν τοὺς τὸν θεὸν τιμήσαντας
καὶ προσκυνήσαντας; οὐ συμφέρει εἰπέ μοι
προσκυνεῖν τοῖς ἁγίοις, καὶ μὴ ὡς σὺ λιθοβο-
λεῖν; οὐ συμφέρει προσκυνεῖν, καὶ μὴ τούτους
καταπρίζειν, καὶ ἐν λάκκῳ βορβόρου τοὺς
εὐεργέτας καταφέρειν; εἰ τὸν θεὸν ἠγάπας,
πάντως ἂν καὶ τοὺς αὐτοῦ δούλους τιμᾷν ἔ-
μελλες. καὶ εἰ ἀκάθαρτα εἰσὶ τῶν δικαίων
τὰ ὀστᾶ, πῶς μετὰ τιμῆς πάσης μετεκομίσθη-
σαν τὰ ὀστᾶ Ἰακὼβ καὶ Ἰωσὴφ ἐξ Αἰγύπτου;
πῶς νεκρὸς ἄνθρωπος ἀψάμενος τῶν ὀστέων
Ἐλισσαίου, εὐθέως ἀνέστη; εἰ δὲ διὰ ὀστέων
θαυματουργεῖ ὁ θεός, εὔδηλον, ὅτι δύναται
καὶ διὰ εἰκόνων, καὶ λίθων, καὶ ἑτέρων πολ-
λῶν, καθὼς καὶ ἐπὶ Ἐλισσαιὲ ἐγένετο. ὃς
ἔδωκε τὴν ἰδίαν ῥάβδον τῷ ἑαυτοῦ παιδί, καὶ
εἶπε δι' αὐτῆς πορευθέντα, ἀναστῆσαι τὸν
παῖδα τῆς Σουναμίτιδος. καὶ Μωϋσῆς ῥάβ-
δῳ τὸν Φαραὼ ἐκόλασε. καὶ θάλασσαν ἔσχι-
σε. καὶ ὕδωρ ἐγλύκανε. καὶ πέτραν διέῤῥη-
ξε. καὶ ὕδωρ ἐξήγαγε. καὶ Σολομῶν φησιν,
ηὐλόγηται ξύλον, δι' οὗ γέγονε σωτηρία. καὶ
Ἐλισσαιὲ ξύλον ἐν Ἰορδάνῃ ἀποῤῥίψας,

σίδηρον ἀνήγαγε. καὶ ξύλον ζωῆς. καὶ φυτὸν
ἐδὲμ, ἢ γοῦν συγχωρήσεως. καὶ Μωϋσῆς ξύ-
λῳ τὸν ὄφιν ὕψωσε, καὶ λαὸν ἐζωοποίησε. ξύ-
λῳ βλαστήσαντι ἐν τῇ σκηνῇ, τὴν ἱερατείαν
ἐκύρωσεν. ἀλλ᾽ ἴσως ἐρεῖς μοι ὁ Ἰουδαῖος, ὅτι
τὰ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἅπαντα, ὁ
θεὸς γενέσθαι προσέταξε τῷ Μωϋσῇ. κἀγώ
σοι λέγω, ὅτι πολλὰ καὶ ποικίλα πράγμα-
τα ὁ Σολομῶν ἐν τῷ ναῷ γλυπτὰ καὶ χωνευ-
τὰ πεποίηκεν, ἅπερ οὐδὲ ὁ θεὸς αὐτῷ ποιῆ-
σαι προσέταξεν, οὐδὲ ἡ σκηνὴ τοῦ μαρτυρίου
ταῦτα ἐκέκτητο, οὔτε ὁ ναὸς ὃν ὁ θεὸς τῷ Ιε-
ζεκιὴλ ὑπέδειξε, καὶ οὐ κατεγνώσθη ἐν τούτῳ
Σολομῶν, εἰς δόξαν γὰρ θεοῦ τὰς τοιαύτας
μορφὰς κατεσκεύασεν, ὥσπερ δὴ καὶ ἡμεῖς.
εἶχες καὶ σὺ πολλὰς καὶ διαφόρους πρὸς ἀ-
νάμνησιν θεοῦ εἰκόνας καὶ σήμαντρα, πρὶν
ἢ τούτων διὰ τὴν σὴν ἀγνωμοσύνην ἐστερήθης.
τουτέστι, τὴν μωσαϊκὴν ῥάβδον. τὰς θεοτύ-
πους πλάκας. τὴν πυρίδροσον βάτον. τὴν
ξηρίυδρον πέτραν. τὴν μαννοφόρον κιβωτόν.
τὸ πυρίθεον θυσιαστήριον. τὸ θεώνυμον πέ-
ταλον. τὸ θεόδηλον ἐφούδ. τὴν θεόσκιον
σκηνήν. εἰ δὲ καὶ σὺ ἅπαντα ταῦτα νυκ-
τὸς καὶ ἡμέρας κατεσκιάζου, λέγων, δόξα σοι
ὁ μόνος παντοκράτωρ θεός, ὁ διὰ πάντων

τούτων ἐν Ἰσραὴλ θαυμάσια ποιήσας. εἰ δὲ διὰ πάντων τούτων τῶν νομικῶν ὧν εἶχες ποτὲ, προσώπων τῷ θεῷ προσεκύνεις, ὁρᾷς ὅτι διὰ τῶν εἰκόνων προσάγεται τῷ θεῷ ἡ προσκύνησις; Καὶ μετ᾽ ὀλίγα. ὁ γὰρ ἀγαπῶν φίλον εἰλικρινῶς, ἢ βασιλέα, καὶ μάλιστα τὸν εὐεργέτην, κἂν υἱὸν αὐτοῦ θεάσηται. κἂν ῥάβδον. κἂν θρόνον. κἂν στέφανον. κἂν οἶκον. κἂν δοῦλον, κρατεῖ καὶ ἀσπάζεται, καὶ τιμᾷ διὰ τούτων τὸν εὐεργέτην καὶ βασιλέα, καὶ μάλιστα τὸν θεόν. εἴθε γὰρ, πάλιν λέγω, ἐποίησας καὶ σὺ εἰκόνας μωσαϊκὰς καὶ προφητικὰς, καὶ καθ᾽ ἡμέραν ἐν αὐταῖς προσεκύνεις τῷ δεσπότῃ αὐτῶν θεῷ. ὅταν τοίνυν ἴδῃς χριστιανῶν παῖδας προσκυνοῦντας τῷ σταυρῷ, γνῶθι ὅτι τῷ σταυρωθέντι χριστῷ τὴν προσκύνησιν προσάγουσι, καὶ οὐ τῷ ξύλῳ. ἐπεὶ, εἰ τὴν φύσιν τοῦ ξύλου ἐσέβον, πάντως ἂν καὶ τὰ δένδρα καὶ τὰ ἄλση προσκυνεῖν εἶχον, ὡς πρὶν σὺ ὁ Ἰσραὴλ προσεκύνησας αὐτοῖς ποτὲ, λέγων τῷ δένδρῳ καὶ τῷ λίθῳ, ὅτι σύ μου εἶ θεὸς, καὶ σύ με ἐγέννησας. ἡμεῖς δὲ οὐχ᾽ οὕτως λέγομεν τῷ σταυρῷ, οὐδὲ ταῖς μορφαῖς τῶν ἁγίων, οὐ γὰρ θεοὶ ἡμῶν εἰσιν, ἀλλὰ βίβλοι ἀνεωγμέναι πρὸς ἀνάμνησιν θεοῦ, καὶ τιμὴν αὐτοῦ ἐν ταῖς ἐκκλησίαις προφαινόμε-

κείμενα καὶ προσκυνούμενα, ὁ γὰρ τιμῶν τὸν μάρτυρα, τὸν θεὸν τιμᾷ, ᾧ ὁ μάρτυς ἐμαρτύρησεν. ὁ προσκυνῶν τῷ ἀποστόλῳ τοῦ χριστοῦ, τῷ ἀποστείλαντι αὐτὸν προσκυνεῖ. καὶ ὁ προσπίπτων τῇ μητρὶ τοῦ χριστοῦ, πρόδηλον ὅτι τῷ υἱῷ αὐτῆς τὴν τιμὴν προσφέρει, οὐδεὶς γὰρ θεὸς εἰ μὴ εἷς, ὁ ἐν τριάδι καὶ ἐν μονάδι γνωριζόμενός τε καὶ λατρευόμενος. Σχόλιον. Οὗτος πρὸς ἐξηγητὴς τῆς τοῦ μακαρίου Επιφανίου λέγω, ὁ τοῖς αὐτοῦ λόγοις τὴν κυπρίων κατακοσμήσας νῆσον, ἢ οἱ ἀπὸ καρδίας λαλοῦντες; Ακουε δὲ καὶ Σευηριανοῦ ἐπισκόπου Γαβάλων, οἷα φησίν.

Απὸ λόγου τοῦ εἰς τὰ ἐγκαίνια τοῦ σταυροῦ.

Πῶς ἡ εἰκὼν τοῦ ἐπικαταράτου ζωὴν ἤνεγκε τοῖς ὑμετέροις προγόνοις; Καὶ μετ᾽ ὀλίγα. πῶς οὖν ἡ εἰκὼν τοῦ ἐπικαταράτου, ἤνεγκε τῷ λαῷ ἐν συμφορᾷ χειμαζομένῳ σωτηρίαν; ἆρα οὐκ ἦν ἀξιοπιστότερον εἰπεῖν, ἐάν τις ὑμῶν δηχθῇ, βλέψει εἰς τὸν οὐρανὸν ἄνω πρὸς τὸν θεὸν καὶ σωθήσεται, ἢ εἰς τὴν σκηνὴν τοῦ θεοῦ; ἀλλὰ ταῦτα παριδὼν, μόνον τοῦ σταυροῦ τὴν εἰκόνα ἔπηξε. διατί οὖν ταύτην ποιεῖ Μωϋσῆς, ὁ εἰπὼν τῷ λαῷ, οὐ ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ χωνευτὸν, οὐδὲ πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα

ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκά-
τω τῆς γῆς; ἀλλὰ τί ταῦτα πρὸς τὸν ἀγνώ-
μονα φθέγγομαι; εἰπὲ πιστότατε θεοῦ θερά-
πον, ὃ ἀπαγορεύεις, ποιεῖς; ὃ ἀναστρέπεις, κα-
τασκευάζεις; ὁ λέγων οὐ ποιήσεις γλυπτὸν,
ὁ τὸν χωνευθέντα βοῦν κατολέσας, σὺ ὄφιν
χαλκουργεῖς; καὶ τοῦτο οὐ λάθρα, ἀλλὰ ἀνα-
φανδὸν, καὶ πᾶσι γνωστόν; ἀλλ' ἐκεῖνα φησὶν ἐνο-
μοθέτησα, ἵνα ἐκκόψω τὰς ὕλας τῆς ἀσεβείας,
καὶ τὸν λαὸν ἀπαγάγω πάσης ἀποστασίας καὶ εἰ-
δωλολατρείας, νυνὶ δὲ, χωνεύω τὸν ὄφιν χρη-
σίμως, εἰς προτύπωσιν τῆς ἀληθείας. καὶ καθά-
περ σκηνὴν ἔπηξα, καὶ τὰ ἐν αὐτῇ πάντα, καὶ
χερουβὶμ ὁμοίωμα τῶν ἀοράτων διεπέτασα εἰς
τὰ ἅγια, ὡς τύπον καὶ σκιὰν τῶν μελλόντων, οὕτω
καὶ ὄφιν ἐστήλωσα εἰς σωτηρίαν τῷ λαῷ, ἵνα διὰ
τῆς πείρας τούτων, προγυμνασθῶσι τοῦ σημείου
τοῦ σταυροῦ τὴν εἰκόνα, καὶ τὸν ἐν αὐτῷ σωτῆρα
καὶ λυτρωτήν. καὶ ὅτι ἀψευδέστατος ὁ λόγος ἀγα-
πητὲ, ἄκουε τοῦ κυρίου τοῦτο βεβαιοῦντος καὶ
λέγοντος. καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν
ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν
τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων ἐν αὐτῷ, μὴ
ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον .. Σχόλιον.

Σύνες, ὡς διὰ τὸ ἀπαγαγεῖν ἔφη τὸν λαὸν τῆς
εἰδωλολατρείας, εὐόλισθον καὶ ἕτοιμον ὄντα

πρὸς ἑαυτόν, μὴ ποιεῖν πᾶν ὁμοίωμα ἐν ὁμοιώσει, καὶ ὅτι εἰκὼν ἦν τοῦ πάθους τοῦ κυρίου ὁ ὑψωθεὶς ὄφις. Ὅτι δὲ οὐ καινὸν ἐφεύρεμα τὸ τῶν εἰκόνων, ἀλλ' ἀρχαῖον, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις πατράσιν ἐγνωσμένον τε καὶ εἰθισμένον, ἄκουε. γέγραπται ἐν τῷ βίῳ Βασιλείου τοῦ μάκαρος, τῷ δι' Ἑλλαδίου τοῦ αὐτοῦ μαθητοῦ, τοῦ καὶ διαδόχου τῆς αὐτοῦ ἱεραρχίας, ὡς παρειστήκει ὁ ὅσιος τῇ τῆς δεσποίνης εἰκόνι, ἐν ᾗ καὶ ὁ χαρακτὴρ ἐγγέγραπτο Μερκουρίου τοῦ ἀοιδίμου μάρτυρος, παρειστήκει δέ, ἐξαιτῶν τὴν Ἰουλιανοῦ τοῦ ἀθεωτάτου καὶ ἀποστάτου ἀναίρεσιν. ἐξ ἧς εἰκόνος, ἐμυήθη ταύτην τὴν ἀποκάλυψιν. ἑώρα γὰρ πρὸς μὲν βραχὺ ἀφανῆ τὸν μάρτυρα, μετ' οὐ πολὺ δέ, τὸ δόρυ ᾑμαγμένον κατέχοντα.

Ἐν τῷ βίῳ Ἰωάννου τοῦ χρυσοστόμου, οὕτως αὐτολεξεὶ γέγραπται. ἠγάπα δὲ ὁ μακάριος Ἰωάννης τὰς ἐπιστολὰς τοῦ σοφωτάτου Παύλου ἄγαν. Καὶ μετ' ὀλίγα. ἦν δὲ καὶ τὸ ἐκτύπωμα τοῦ αὐτοῦ ἀποστόλου Παύλου ἔχων ἐν εἰκόνι, ἔνθα ἀνεπαύετο διὰ τὴν τοῦ σώματος ἀσθένειαν, βραχύ τι, ἦν γὰρ πολυάγρυπνος ὑπὲρ φύσιν, καὶ ἡνίκα διήρχετο τὰς ἐπιστολὰς αὐτοῦ, ἐνητένιζεν αὐτῇ, καὶ ὡς ἐπὶ ζῶντος αὐτοῦ, οὕτως προσεῖχεν αὐτῷ, μα-

χαρίζων αὐτόν. καὶ ὅλον αὐτοῦ τὸν λογισμὸν πρὸς αὐτὸν εἶχε φανταζόμενος, καὶ διὰ τῆς θεωρίας, αὐτῷ ὁμιλῶν. Καὶ μεθ' ἕτερα. ὡς δὲ ἐπαύσατο ὁ Πρόκλος λαλῶν, ἀτενίσας τῇ εἰκόνι τοῦ ἀποστόλου, καὶ θεασάμενος τὸν χαρακτῆρα αὐτοῦ, ὅμοιον τοῦ ὀφθέντος αὐτῷ, βαλὼν μετάνοιαν, τῷ Ἰωάννῃ εἶπε, δακτυλοδεικτῶν τὴν εἰκόνα. συγχώρησόν μοι πάτερ, ὃν εἶδον λαλοῦντά σοι, ὅμοιός ἐστι τούτῳ. ὡς δὲ ὑπολαμβάνω, ὅτι καὶ αὐτός ἐστιν.

Ἐν δὲ τῷ τῆς ὁσίας Εὐπραξίας βίῳ, τὸν δεσποτικὸν δεδεῖχθαι αὐτῇ χαρακτῆρα ἀναγέγραπται ὑπὸ τῆς προεστηκυίας τῆς μονῆς.

Ἐν τῷ τῆς ὁσίας Μαρίας βίῳ τῆς Αἰγυπτίας γέγραπται, τῇ εἰκόνι τῆς δεσποίνης αὐτὴν εὔξασθαι, καὶ ταύτην πρὸς ἐγγύην ἐξαιτήσασθαι, καὶ οὕτως τυχεῖν τῆς εἰς τὸν ναὸν εἰσόδου.

Ἐκ τοῦ λόγου τοῦ χρυσοστόμου, ὅτι παλαιᾶς καὶ καινῆς εἷς νομοθέτης, καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως.

Ἐπεὶ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφήν, εὐσεβείας πεπληρωμένην. εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων ξίφη. εἶδον πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα. κύριε ἐν τῇ πόλει σου τὴν ψαλ. οϛ.

εἰκόνα αὐτῆς ἐξουδενώσεως.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς παραβολῆς τοῦ σπόρου.

Ἔνδυμα βασιλικὸν ἐὰν ὑβρίσῃς, οὐ τὸν ἐνδεδυμένον ὑβρίζεις; οὐκ οἶδας ὅτι ἐὰν εἰκόνα βασιλέως ὑβρίσῃς, εἰς τὸ πρωτότυπον τῆς ἀξίας φέρεις τὴν ὕβριν; οὐκ οἶδας, ὅτι ἐάν τις εἰκόνα τὴν ἀπὸ ξύλου ἢ ἀνδριάντος χαλκοῦ κατασύρῃ, οὐχ ὡς εἰς ἄψυχον ὕλην τολμήσας κρίνεται, ἀλλ᾽ ὡς κατὰ βασιλέως κεχρημένος τῇ ὕβρει; εἰκόνα δὲ ὅλως βασιλέως φέρουσα, τὴν ἑαυτοῦ ὕβριν, εἰς βασιλέα ἀνάγει. Τοῦ αὐτοῦ Ἰωάννου τοῦ χρυσοστόμου ἐκ τοῦ εἰς Μελέτιον ἐπίσκοπον ἀντιοχείας καὶ μάρτυρα, λόγου. καὶ εἰς τὴν σπουδὴν τῶν συνελθόντων. Οὗ ἡ ἀρχή. Πανταχοῦ τῆς ἱερᾶς ταύτης ἀγέλης περιφέρων τοὺς ὀφθαλμούς. Καὶ μετὰ βραχέα. καὶ ἦν εὐσεβείας διδασκαλία τὸ γινόμενον, συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι, καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ ψυχῆς, παντὸς ἀλόγου πάθους καὶ λογισμοῦ φυγαδευτήριον εἶχον τὸ ὄνομα. καὶ οὕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ, καὶ ἐν ἀμφόδῳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, τούτῳ πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι. οὐ πρὸς τὸ ὄνομα δὲ τοσοῦτον ἐπά-

θετε πόθον μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος τὸν τύπον. ὅπερ οὕτω ἐν ὀνόμασιν ἐποιήσατε, ὥσπερ καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου, καὶ γὰρ ἐν δακτυλίων σφενδόναις, καὶ ἐκπώμασι, καὶ φιάλαις, καὶ ἐν θαλάμων τοίχοις, καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην ἐχάραξαν πολλοί. ὡς μὴ μόνον ἀκούειν τὴν ἁγίαν προσηγορίαν ἐκείνης, ἀλλὰ καὶ ὁρᾷν αὐτοῦ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν τὴν παραμυθίαν.

Τοῦ αὐτοῦ εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, καὶ εἰς τὸ πάσχα, καὶ εἰς τὴν παράδοσιν τῶν μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν.

Καθάπερ γὰρ οἱ ζωγράφοι, ἐν αὐτῷ τῷ πίνακι καὶ τὰς γραμμὰς περιέχουσι, καὶ σκιογραφοῦσι, καὶ τὴν ἀλήθειαν τῶν χρωμάτων ἐπιτιθέασιν, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν.

Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων ἐκ τῆς πρὸς πᾶσαν τὴν Ἰταλίαν ἐπιστολῆς.

Τῇ νυκτὶ δὲ τῇ τρίτῃ, ἐκνηστείας μοι ἤδη καταπεπονημένου τοῦ σώματος, οὐ καθεύδοντι, ἀλλ' ἐν ἐκστάσει ὄντι, μετά τινος προσώπου μοι κατεφάνησαν, ὃ προσεῴκει τῷ μακαρίῳ Παύλῳ τῷ ἀποστόλῳ, αὐτῆς τῆς ἐν εἰκόνι γραφῆς τὸν αὐτοῦ χαρακτῆρα διδασκούσης σαφῶς.

Μαξίμου τοῦ φιλοσόφου καὶ ὁμολογητοῦ, ἐκ τῶν περὶ αὐτοῦ πεπραγμένων, μεταξὺ αὐτοῦ τε καὶ Θεοδοσίου ἐπισκόπου.

Καὶ μετὰ τούτοις ἀνέστησαν πάντες μετὰ χαρᾶς καὶ δακρύων, καὶ ἔβαλον μετάνοιαν, καὶ εὐχὴ γέγονε, καὶ ἕκαστος αὐτῶν τὰ ἅγια εὐαγγέλια, καὶ τὸν τίμιον σταυρὸν, καὶ τὴν εἰκόνα τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ τῆς δεσποίνης ἡμῶν τῆς αὐτὸν τεκούσης παναγίας θεοτόκου, ἠσπάσατο, τεθεικότες καὶ τὰς ἰδίας χεῖρας, ἐπὶ βεβαιώσει τῶν λαληθέντων.

Τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου Θεοπόλεως καὶ πατριάρχου Ἀναστασίου, περὶ σαββάτου. Καὶ πρὸς Συμεὼν ἐπίσκοπον βόστρης.

Ὥσπερ γὰρ ἀπόντος μὲν βασιλέως, ἡ εἰκὼν αὐτοῦ ἀντ' αὐτοῦ προσκυνεῖται, παρόντος δὲ λοιπὸν αὐτοῦ, περιττὸν καταλιπόντα τὸν πρωτότυπον, προσκυνεῖν τὴν εἰκόνα. οὐ μὴν, ἐπεὶ μὴ προσκυνεῖται διὰ τὸ παρεῖναι τὸν, δι' ὃν προσκυνεῖται, ἀτιμάζεσθαι αὐτὴν ἔδει. Καὶ μετ' ὀλίγα. ὥσπερ γὰρ ὁ παροινῶν εἰκόνι βασιλέως, τιμωρίαν ὑφίσταται, ὡς αὐτόχρημα βασιλέα ἀτιμάσας, καίτοι τῆς εἰκόνος οὐδὲν ἕτερον οὔσης, ἢ ξύλον

καὶ χρώματα, κηρῷ μεμιγμένα καὶ κεκραμένα, τὸν αὐτὸν τρόπον ὁ τὸν τύπον τοῦ δι' ἑνος ἀτιμάζων, εἰς αὐτὸ ἐκεῖνο, οὗ τύπος ἐστὶν, ἀναφέρει τὴν ὕβριν.

Ἐκ τοῦ λειμωναρίου τοῦ ἁγίου πατρὸς ἡμῶν Σωφρονίου, ἀρχιεπισκόπου Ἱεροσολύμων.

Ἔλεγεν ὁ ἀββᾶς Θεόδωρος ὁ αἰλιώτης, ὅτι ἦν τις ἔγκλειστος εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἀγωνιστὴς πάνυ, ἐπολέμει δὲ αὐτῷ ὁ δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι καὶ λέγειν τῷ δαίμονι, ἕως πότε οὐκ ἐνδίδως μοι; ἀπόστα λοιπὸν ἀπ' ἐμοῦ. συνεγήρασάς μοι. φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς, λέγων· ὄμοσόν μοι ὅτι οὐδενὶ λέγεις ὃ μέλλω λέγειν σοι, καὶ οὐκέτι σοι πολεμῶ. καὶ ὤμοσεν αὐτῷ ὁ γέρων, ὅτι μὰ τὸν ἐνοικοῦντα ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινὶ ἅπερ λέγεις μοι. τότε λέγει αὐτῷ ὁ δαίμων, μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ οὐκέτι σοι πολεμῶ. εἶχε δὲ ἡ εἰκὼν, ἐκτύπωμα τὴν δέσποιναν ἡμῶν τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον, βαστάζουσαν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν χριστόν. λέγει ὁ ἔγκλειστος τῷ δαίμονι, ἄφες σκέψομαι. τῇ οὖν ἐπαύριον, δηλοῖ τῷ ἀββᾷ Θεοδώρῳ τῷ αἰλιώτῃ, οἰκοῦντι τότε ἐν τῇ λαύ-

ρα φαρὼν, καὶ ἦλθε, καὶ διηγεῖται αὐτῷ πάντα. ὁ δὲ γέρων, λέγει τῷ ἐγκλείστῳ. οὕτως ἀββᾶ ἐνεπαίχθης, ὅτι ὤμοσας τῷ δαίμονι, πλὴν καλῶς ἐποίησας ἐξειπών. συμφέρει δέ σοι, μὴ ἐᾶσαι εἰς τὴν πόλιν ταύτην πορνεῖον, ἐν ᾧ μὴ εἰσέρχῃ, ἢ ἵνα ἀρνήσῃ τὸ προσκυνεῖν τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν χριστὸν, μηδὲ τῆς ἰδίας αὐτοῦ μητρός. στηρίξας οὖν αὐτὸν, καὶ ἐνδυναμώσας πλείοσι λόγοις, ἀπῆλθεν εἰς τὸν ἴδιον αὐτοῦ τόπον. φαίνεται οὖν πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ καὶ λέγει αὐτῷ, τί ἐστι κακόγηρε, οὐκ ὤμοσάς μοι ὅτι οὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξεῖπες τῷ ἐλθόντι πρὸς σέ; λέγω σοι κακόγηρε, ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος, λέγων. ὅτι μὲν ὤμοσα; ὤμοσα. καὶ ὅτι ἐπιώρκησα, οἶδα, πλὴν τὸν ἐμὸν δεσπότην καὶ ποιητὴν ἐπιώρκησα. σοῦ δὲ, οὐκ ἀκούω.

Σχόλιον.

Ὁρᾷς ὅτι τὴν τῆς εἰκόνος προσκύνησιν τοῦ εἰκονιζομένου εἶπε, καὶ πόσον κακὸν τὸ ταύτῃ μὴ προσκυνεῖν; καὶ πῶς αὐτὸ τῆς πορνείας προετίμησεν ὁ δαίμων; πολλῶν τοίνυν αἰέκαθεν ἱερέων τε καὶ βασιλέων, χριστιανοῖς πόθεν δεδημένων, σοφίᾳ τε καὶ θεοσεβείᾳ, καὶ λόγῳ καὶ βίῳ διαπρεψάντων, καὶ

συνόδων πλείστων γεγενημένων ἁγίων καὶ θεο-
πνεύστων πατέρων, τί μηδεὶς αὐτὰ δρᾶν ἐπε-
χείρησεν; οὐκ αἰσχυνόμεθα νέαν πίστιν διδάσκε-
σθαι, ἐκ γὰρ σιὼν ἐξελεύσεται νόμος, προφητι-
κῶς ἔφη τὸ πνεῦμα τὸ ἅγιον, καὶ λόγος κυρίου
ἐξ ἱερουσαλήμ. οὐκ αἰσχυνόμεθα ἄλλοτε ἄλλα
φρονεῖν, καὶ καιροῖς μεταβάλλεσθαι, καὶ τὴν
πίστιν τοῖς ἔξωθεν, γέλωτα καὶ ἀθύρματα γίνε-
σθαι. οὐκ αἰσχυνόμεθα βασιλικῷ ὑποκύπτειν
θεσπίσματι, τὴν ἐκ πατέρων πειρωμένῳ ἀνα-
τρέπειν συνήθειαν. οὐ πατρικὰ ταῦτα, λῃ-
στρικὰ γὰρ τὰ βίᾳ καὶ οὐ πειθοῖ γινόμενα. καὶ
μάρτυς ἡ ἐν ἐφέσῳ τὸ δεύτερον γεγενημένη
σύνοδος, μέχρι δεῦρο λῃστρικὴν δεδεγμένη
τὴν ἐπωνυμίαν, βασιλικῇ χειρὶ ἐκβιασθεῖσα,
ὅτε φλαβιανὸς ὁ μακάριος ἀπεκτέννυτο.
Συνόδων ταῦτα οὐ βασιλέων, ὡς ὁ κύριος ἔ-
φησεν. ὅπου συναχθῶσι δύο, ἢ τρεῖς ἐπὶ τῷ
ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. οὐ βασι-
λεῦσι τοῦ δεσμεῖν καὶ λύειν τὴν ἐξουσίαν δέδω-
κεν ὁ χριστὸς, ἀλλ᾽ ἀποστόλοις, καὶ τοῖς τούτων δια-
δόχοις, καὶ ποιμέσι καὶ διδασκάλοις. κἂν ἄγγε-
λός φησι Παῦλος ὁ ἀπόστολος εὐαγγελίσηται
ὑμᾶς παρ᾽ ὃ παρελάβετε, καὶ τὸ ἑξῆς σιωπήσο-
μεν, φειδοῖ τὴν ἐπιστροφὴν ἐκδεχόμενοι. ἂν δὲ
ἴδωμεν τὴν διαστροφὴν ἀνεπίστροφον, τότε ἐπα-

ξομένη καὶ τὸ λειπόμενον, ἀλλὰ ἀπηύχεω τοῦτο. εἴ τις εἰσέλθοι εἰς οἶκον, ἐν ᾧ ζωγράφος τοῖς τοίχοις ἱστορίαν Μωϋσέως καὶ Φαραὼ ἔγραψε χρώμασιν, εἶτα ἐρωτήσει τυχὸν, περὶ τῶν ὡς ἐπὶ ξηρᾶς διοδευσάντων τὴν θάλασσαν, τίνες οὗτοι εἰσί, τί ἐρεῖς ἐρωτώμενος, οὐχὶ οἱ υἱοὶ Ἰσραήλ; τίς δὲ ὁ ῥάβδῳ παίων τὴν θάλασσαν, οὐχὶ Μωϋσῆς; οὕτω καὶ εἴ τις τὸν χριστὸν εἰκονίσει σταυρούμενον, καὶ ἐρωτηθῇ, τίς οὗτος ἐστὶ, χριστὸς ὁ θεὸς ὁ δι' ἡμᾶς σαρκωθεὶς, ἐρεῖ. ναὶ δέσποτα προσκυνῶ πάντα τὰ σὰ, καὶ πόθῳ ἐκκαεῖ περιπτύσσομαι. τὴν θεότητα. τὴν δύναμιν. τὴν ἀγαθότητα. τὸ περὶ ἐμὲ ἔλεον. τὴν συγκατάβασιν. τὴν σάρκωσιν. τὴν σάρκα. καὶ ὡς πρὸ ἅψασθαι σιδήρου πεπυρακτωμένου δέδοικα, οὐ διὰ τὴν τοῦ σιδήρου φύσιν, ἀλλὰ διὰ τὸ ἡνωμένον αὐτῷ πῦρ, οὕτω τὴν σάρκα τὴν σὴν προσκυνῶ, οὐ διὰ τὴν τῆς σαρκὸς φύσιν, ἀλλὰ διὰ τὴν καθ' ὑπόστασιν ἡνωμένην αὐτῇ θεότητα. προσκυνοῦμεν τὰ πάθη. τίς εἶδε θάνατον προσκυνούμενον; ἢ πάθη σεπτά, ἀλλ' ὄντως προσκυνοῦμεν τὸν τοῦ θεοῦ μου σωματικὸν θάνατον, καὶ τὰ σωτήρια πάθη. προσκυνοῦμεν τὴν εἰκόνα. πάντα τὰ σὰ προσκυνοῦμεν. τοὺς θεράπον-

τας. τοὺς

τας. τῶν φίλων· καὶ πρὸ τούτων, τὴν μητέρα τὴν θεοτόκον. διὸ δυσωποῦμεν τὸν τοῦ θεοῦ λαόν, τὸ ἔθνος τὸ ἅγιον, τῶν ἐκκλησιαστικῶν ἀντέχεσθαι παραδόσεων. ἡ γὰρ κατὰ σμικρὸν τῶν παραδεδομένων ἀφαίρεσις, ὡς ἐξ οἰκοδομῆς λίθων, θᾶττον ἅπασαν τὴν οἰκοδομὴν καταῤῥήγνυσιν. εἴη δὲ ἡμᾶς, ἑδραίους, ἀκαμπεῖς, ἀκλονήτους διαμένειν, ἐπὶ πέτραν ὀχυρὰν ἐστηριγμένους, ἥτις ἐστὶν ὁ χριστός. ᾧ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ πνεύματι, νῦν τε καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος τρίτος, πρὸς τοὺς διαβαλλομένους τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας.

Ἔθος ἐστὶ τῷ πονηρῷ καὶ ἀρχεκάκῳ ὄφει, τῷ διαβόλῳ φημί, πολυτρόπως πολεμεῖν τῷ κατ᾽ εἰκόνα θεοῦ πλαστουργηθέντι ἀνθρώπῳ, καὶ διὰ τῆς ἐναντίων, τὸν αὐτοῦ κατεργάζεσθαι θάνατον.

οὗτος μὲν γὰρ ἐν ἀρχῇ, ἐλπίδα καὶ ἐπιθυμίαν θεώσεως αὐτῷ ἐνέσπειρε, καὶ δι᾽ αὐτῆς εἰς τὸν τῶν ἀλόγων κατήγαγε θάνατον. οὐ μὴν, ἀλλὰ καὶ ἀλόγοις ἡδοναῖς πολλάκις αὐτοὺς ἐδελέασε. πόθεν δὲ τὸ διάμεσον, θεώσεως καὶ ἀλόγου ἐπιθυμίας; ποτὲ μὲν, εἰς ἀθεότητα ἤγαγε, καθώς φησιν ὁ θεοπάτωρ Δαβίδ. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. ποτὲ δὲ, εἰς πολυθεΐαν. καὶ ποτὲ μὲν, μὴ δὲ τῷ φύσει προσκυνεῖν θεῷ ἔπεισε. ποτὲ δὲ, δαίμοσιν. ἔτι δὲ, οὐρανῷ τε καὶ γῇ, ἡλίῳ καὶ σελήνῃ καὶ ἄστρασι καὶ τῇ λοιπῇ κτίσει, μέχρι κνωδάλων καὶ ἑρπετῶν προσκυνεῖν προσκύνησιν. ὁμοίως γάρ ἐστι χαλεπὸν, καὶ τὸ τοῖς τιμίοις τὴν ὀφειλομένην μὴ προσάγειν τιμὴν, καὶ τοῖς ἀτίμοις τὴν μὴ προσήκουσαν προσάπτειν δόξαν. ἡ δὲ ἀλήθεια μέσην ὁδὸν βαδίζουσα, πάντα ἀπαρνεῖται τὰ ἄτοπα. ἀλλ᾽ ὁ τῆς ἀληθείας ἐχθρὸς, καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων πολέμιος, ὁ ποτὲ δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων καὶ πετεινῶν καὶ κνωδάλων καὶ ἑρπετῶν εἰκόνας ποιεῖν, καὶ ταύταις ὡς θεοῖς προσκυνεῖν, οὐ μόνον τὰ ἔθνη, ἀλλὰ καὶ αὐτοὺς τοὺς υἱοὺς Ἰσραὴλ πολλάκις πλανήσας, νῦν εἰρήνην ἔχουσαν τὴν τοῦ χριστοῦ ἐκκλησίαν, συνταρά-

ξαι ἀπουδάζει. διὰ χειλέων ἀδίκων καὶ γλώσσης δολίας, λόγοις θείοις τὴν κακίαν τῶν αὐτῶν, καὶ ταύτης τὸ ἄσχημον καὶ σκοτεινὸν εἶδος, ἐπικαλύπτειν πειρώμενος, καὶ τὰς καρδίας τῶν ἀπειράκτων, σαλεύειν ἐκ τῆς ἀληθοῦς καὶ πατροπαραδότου συνηθείας. αἱ ἔστη σαγγαρίστους λέγοντες, ὡς οὐ δεῖ εἰκονίζειν καὶ προτιθέναι εἰς θεωρίαν καὶ δόξαν καὶ θαῦμα καὶ ζῆλον, τὰ τοῦ χριστοῦ σωτήρια θαύματά τε καὶ πάθη, καὶ τὰς τῶν ἁγίων ἀνδραγαθίας κατὰ τοῦ διαβόλου. καὶ τίς ἔχων γνῶσιν θείαν, καὶ σύνεσιν πνευματικὴν, οὐκ ἐπιγινώσκει ὅτι ἐπιβολὴ τοῦ διαβόλου ἐστίν; οὐ θέλει γὰρ τὴν ἧτταν καὶ τὴν αἰσχύνην αὐτοῦ δημοσιεύεσθαι, οὐδὲ τὴν τοῦ θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ δόξαν, ἀναγραπτὸν γίνεσθαι. εἰ μὲν γὰρ τοῦ θεοῦ τοῦ ἀοράτου εἰκόνα ἐποιοῦμεν, ὄντως ἡμαρτάνομεν, ἀδύνατον γὰρ τὸ ἀσώματον καὶ ἀσχημάτιστον, καὶ ἀόρατον καὶ ἀπερίγραπτον, εἰκονισθῆναι. καὶ πάλιν, εἰ ἃ ἐποιοῦμεν, θεοὺς ἡγούμεθα, καὶ ὡς θεοῖς ἐλατρεύομεν, ὄντως ἠσεβοῦμεν, ἀλλ' οὐδὲν τούτων ποιοῦμεν. θεοῦ γὰρ σαρκωθέντος, καὶ ὀφθέντος ἐπὶ τῆς γῆς σαρκὶ, καὶ ἀνθρώποις συναναστραφέντος δι' ἄφατον ἀγαθότητα, καὶ φύσιν καὶ πάχος καὶ σχῆμα καὶ χρῶμα σαρκὸς ἀναλαβόν

τος, τὴν εἰκόνα ποιοῦντες οὐ σφαλλόμεθα, ποθοῦμεν γὰρ αὐτοῦ ἰδεῖν τὸν χαρακτῆρα, ὡς γὰρ φησὶν ὁ θεῖος ἀπόστολος, ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι νῦν βλέπομεν. καὶ ἡ εἰκὼν δὲ, ἔσοπτρον ἐστὶ καὶ αἴνιγμα, ἁρμόζον τῇ τοῦ σώματος ἡμῶν παχύτητι, πολλὰ γὰρ κάμνων ὁ νοῦς, οὐ δύναται ἐκβῆναι τὰ σωματικά, φησὶν ὁ θεῖος Γρηγόριος. ὦ ἄρα σὺ φθονερὲ διάβολε, φθονεῖς ἡμῖν ἰδεῖν τὸ τοῦ δεσπότου ἡμῶν ὁμοίωμα, καὶ δι' αὐτοῦ ἁγιασθῆναι. καὶ ἰδεῖν αὐτοῦ τὰ σωτήρια πάθη, καὶ θαυμάζειν αὐτοῦ τὴν συγκατάβασιν, καὶ θεωρεῖν αὐτοῦ τὰ θαύματα, καὶ ἐπιγινώσκειν καὶ δοξάζειν αὐτοῦ τὴν τῆς θεότητος δύναμιν. φθονεῖς τοῖς ἁγίοις τῆς παρὰ θεοῦ δεδομένης αὐτοῖς τιμῆς. οὐ θέλεις ὁρᾶν ἡμᾶς τὴν αὐτῶν δόξαν ἀνάγραπτον, καὶ ζηλωτὰς γενέσθαι τῆς αὐτῶν ἀνδρείας καὶ πίστεως. οὐ φέρεις τὴν ἐκ τῆς εἰς αὐτοὺς πίστεως προσγινομένην ἡμῖν σωματικήν τε καὶ ψυχικὴν ὠφέλειαν. οὐ πειθόμεθά σοι δαίμων φθονερὲ καὶ μισάνθρωπε. Ακούσατε λαοὶ, φυλαὶ, γλῶσσαι, ἄνδρες, γυναῖκες, παῖδες, πρεσβύται, νεανίσκοι καὶ νήπια, τὸ ἔθνος τῶν χριστιανῶν τὸ ἅγιον, εἴ τις διαγγελίζεται ὑμᾶς παρ' ὃ παρέλαβεν ἡ ἁγία καθολικὴ ἐκκλησία παρὰ τῆς

ἁγίων ἀποστόλων, πατέρων τε καὶ συνόδων,
καὶ μέχρι τοῦ νῦν διεφύλαξε, μὴ ἀκούσητε
αὐτοῦ. μὴ δέξησθε τὴν συμβουλὴν τοῦ ὄφεως,
ὡς ἐδέξατο Εὔα, καὶ ἐτρύγησε θάνατον. κἂν
ἄγγελος, κἂν βασιλεὺς εὐαγγελίζηται
ὑμᾶς παρ' ὃ παρελάβετε, κλείσατε τὰς ἀκοάς.
ὀκνῶ γὰρ πῶς εἰπεῖν, ὡς ἔφη ὁ θεῖος ἀπόστο-
λος, ἀνάθεμα ἔστω, ἐκδεχόμενος τὴν διόρθω-
σιν. ἀλλὰ λέγουσιν οἱ μὴ ὀρθῶς νοοῦντες τὸν νοῦν
τῆς γραφῆς, ὅτι εἶπεν ὁ θεὸς διὰ Μωϋσέως
τοῦ νομοθέτου, οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅ-
σα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐν τῇ γῇ. καὶ
διὰ Δαβὶδ τοῦ προφήτου. αἰσχυνθήτωσαν
πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ
ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. καὶ
τοιαῦτα πολλὰ ἕτερα. ὅσα γὰρ ἂν ἐκ τῆς
θείας γραφῆς, καὶ ἐκ τῶν ἁγίων πατέρων
προενέγκωσι, τῆς αὐτῆς ἐννοίας εἰσί. τί οὖν
ἡμεῖς φαμὲν πρὸς ταῦτα; τί ἄλλο, εἰ μὴ τὸ
ὑπὸ τοῦ κυρίου τοῖς ἰουδαίοις εἰρημένον; ἐρευ-
νᾶτε τὰς γραφάς, καλὴ γὰρ ἡ τῶν γραφῶν
ἔρευνα. ἀλλ' ἐν τούτῳ νουνεχῶς προσέχε-
τε. ἀδύνατον ὦ ἀγαπητοὶ θεὸν ψεύσασθαι.
εἷς γάρ ἐστι θεός, εἷς νομοθέτης παλαιᾶς καὶ
καινῆς διαθήκης, ὁ πάλαι λαλήσας πολυ-
μερῶς καὶ πολυτρόπως τοῖς πατράσιν ἐν τοῖς

προφήταις, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, ἐν τῷ μονογενεῖ αὐτοῦ υἱῷ. πρόσεχε τοίνυν μετὰ ἀκριβείας, οὐκ ἐμὸς ὁ λόγος ἐστί, τὸ πνεῦμα τὸ ἅγιον διὰ Παύλου τοῦ ἁγίου ἀποστόλου ἀπεφήνατο. πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις. ὁρᾷς, ὅτι πολυμερῶς καὶ πολυτρόπως ἐλάλησεν ὁ θεός. ὥσπερ γὰρ ἐπιστήμων ἰατρὸς, οὐ τὸ αὐτὸ εἶδος πᾶσι δίδωσι πάντοτε, ἀλλ' ἑκάστῳ τὸ ἐπιτήδειον παρέχει καὶ πρόσφορον φάρμακον, διακρίνων καὶ χώραν καὶ νόσον καὶ ὥραν, τουτέστι καιρὸν καὶ ἕξιν καὶ ἡλικίαν. καὶ τῷ μὲν νηπίῳ, ἕτερον. τῷ δὲ τελείῳ κατὰ τὴν ἡλικίαν, ἕτερον. ἄλλο τῷ ἀσθενεῖ, καὶ ἄλλο τῷ ὑγιαίνοντι. καὶ ἑκάστῳ τῶν ἀσθενούντων, οὐ τὸ αὐτὸ, ἀλλὰ πρὸς τὴν ἕξιν καὶ τὴν νόσον. καὶ ἄλλο τῷ θέρει, καὶ τῷ χειμῶνι ἕτερον, μετοπώρῳ τε καὶ ἔαρι. καὶ ἐν ἑκάστῳ τόπῳ, κατὰ τὴν τοῦ τόπου ἐπιτηδειότητα, οὕτω καὶ ὁ ἅγιος τῆς ψυχῆς ἰατρὸς, τοῖς ἔτι νηπίοις καὶ ἀρρωστοῦσι τὴν πρὸς εἰδωλολατρείαν νόσον, καὶ τὰ εἴδωλα θεοὺς ἡγουμένοις, καὶ ὡς θεοῖς αὐτοῖς προσκυνοῦσι, καὶ ἀθετοῦσι τὴν τοῦ θεοῦ προσκύνησιν, καὶ τὴν αὐτοῦ δόξαν τῇ κτίσει προσάγουσιν, ἀπηγόρευσε τὸ ποιεῖν εἰκόνας. θεοῦ μὲν γὰρ τοῦ ἀσωμάτου

καὶ ἀοράτου καὶ ἀΰλου, καὶ μήτε σχῆμα, μή-
τε περιγραφὴν, μήτε κατάληψιν ἔχοντος,
ἀδύνατον ποιεῖν εἰκόνα. πῶς γὰρ τὸ μὴ ὁρα-
θὲν εἰκονισθήσεται; θεὸν δὲ, οὐδεὶς ἑώρακε
πώποτε. ὁ μονογενὴς υἱὸς, ὁ ὢν ἐν τοῖς κόλ-
ποις τοῦ πατρὸς, αὐτὸς ἐξηγήσατο. καὶ οὐδεὶς
ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται, ἔφη
ὁ θεός. ὅτι δὲ τοῖς εἰδώλοις ὡς θεοῖς προσε-
κύνουν, ἄκουε τί φησιν ἡ γραφὴ ἐν τῇ ἐξό-
δῳ τῶν υἱῶν Ἰσραήλ. ὅτε ἀνῆλθε Μωϋσῆς
εἰς τὸ ὄρος σινᾶ, καὶ ἐχρόνισε προσεδρεύων
τῷ θεῷ, λαβεῖν τὸν νόμον, ὅτε ἐπανέστη ὁ ἀ-
γνώμων λαὸς Ἀαρὼν τῷ τοῦ θεοῦ θεράπον-
τι, λέγοντες, ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύ-
σονται ἡμῶν, ὁ γὰρ ἄνθρωπος οὗτος ὁ Μω-
σῆς, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. εἶτα, ὅτε
περιείλοντο τὸν κόσμον τῶν γυναικῶν αὐ-
τῶν καὶ ἐχώνευσαν, ἔφαγον καὶ ἔπιον, καὶ
ἐμεθύσθησαν ὑπό τε τοῦ οἴνου καὶ τῆς πλά-
νης, καὶ ἤρξαντο παίζειν, ἐν ἀφροσύνῃ λέγον-
τες. οὗτοι οἱ θεοί σου Ἰσραήλ. ὁρᾶς, ὅτι θεοὺς
εἶχον τὰ εἴδωλα; οὐ γὰρ ἐποίησαν δὶς εἴδω
λον, ἢ τόδε, ἢ τόδε, ἀλλ' ὡς ἔτυχεν ἔδω-
καν τὸ χρυσὸν ἐπὶ τῷ ποιῆσαι εἴδωλον ὅπερ
ἂν τύχῃ, καὶ ἀνῆλθεν ἐκτύπωμα βουκράνου.
ὥστε αὐτὰ τὰ χωνευτὰ θεοὺς εἶχον, καὶ τού-

τοῖς ὡς θεοῖς προσκυνοῦσιν, ἅτινα δαιμόνων ἦσαν κατοικητήρια. καὶ ὅτι τῇ κτίσει ἐλάτρευον παρὰ τὸν κτίσαντα, φησὶν ὁ θεῖος ἀπόστολος· οἵτινες ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ, ἐν ὁμοιώματι φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, τούτου χάριν ἀπηγόρευσεν ὁ θεὸς ποιεῖν πᾶν ὁμοίωμα. Οἶδα τὸν εἰπόντα. κύριος ὁ θεός σου, κύριος εἷς ἐστι. καί, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καί, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι. καί, οὐ ποιήσεις γλυπτὸν πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐν τῇ γῇ. καί, αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς. καί, θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. καὶ ὅσα τοιούτῳ τρόπῳ πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν· ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἐλάλησεν ἡμῖν ἐν τῷ μονογενεῖ υἱῷ αὐτοῦ, δι' οὗ τοὺς αἰῶνας ἐποίησεν. Οἶδα τὸν εἰπόντα, αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ζῶντα καὶ ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν χριστόν. καὶ πιστεύω εἰς ἕνα θεόν, μίαν τῶν πάντων ἀρχήν. ἄναρχον. ἄκτιστον. ἀνώλεθρον καὶ ἀθάνατον. αἰώ-

νιον καὶ ἀΐδιον. ἀκατάληπτον. ἀσώματον.
ἀόρατον. ἀπερίγραπτον. ἀσχημάτιστον. μίαν
ὑπερούσιον οὐσίαν. ὑπέρθεον θεότητα, ἐν
τρισὶν ὑποστάσεσι, πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ
πνεύματι. καὶ τούτῳ μόνῳ λατρεύω. καὶ
τούτῳ μόνῳ προσάγω τὴν τῆς λατρείας
προσκύνησιν. ἑνὶ θεῷ προσκυνῶ. μιᾷ θεό-
τητι. ἀλλὰ καὶ τριάδι λατρεύω ὑποστάσεων,
θεῷ πατρί. καὶ θεῷ υἱῷ σεσαρκωμένῳ. καὶ
θεῷ ἁγίῳ πνεύματι. οὐ τρισὶ θεοῖς, ἀλλ' ἑνί.
οὐ διῃρημέναις ὑποστάσεσιν, ἀλλ' ἡνωμέναις.
οὐ τρεῖς προσκυνήσεις προσάγω, ἀλλὰ μίαν.
οὐχ' ἑκάστῃ τῶν ὑποστάσεων διαμερῶς, ἀλλ'
ἑνιαίως ταῖς τρισὶν ὑποστάσεσιν, ὡς ἑνὶ θεῷ,
μίαν προσάγω προσκύνησιν. οὐ προσκυνῶ
τὴν κτίσιν παρὰ τὸν κτίσαντα, ἀλλὰ προσκυ
νῶ τὸν κτίσην, κτισθέντα τὸ κατ' ἐμέ, καὶ εἰς
κτίσιν ἀταπεινώτως καὶ ἀκαθαιρέτως κα-
τεληλυθότα, ἵνα τὴν ἐμὴν δοξάσῃ φύσιν,
καὶ θείας κοινωνὸν ἀπεργάσηται φύσεως.
συμπροσκυνῶ τῷ βασιλεῖ καὶ θεῷ, τὴν ἁ-
λουργίδα τοῦ σώματος, οὐχ' ὡς ἱμάτιον, οὐ
δ' ὡς τέταρτον πρόσωπον. ἄπαγε. ἀλλ' ὡς
ὁμόθεον χρηματίσασαν, καὶ γενομένην ὅπερ
τὸ χρίσαν ἀμεταβλήτως. οὐ γὰρ θεότης ἡ φύ
σις γέγονε τῆς σαρκός, ἀλλ' ὥσπερ ὁ λόγος σὰρξ

ἀτρέπτως ἐγένετο, μείνας ὅ περ ἦν, οὕτω καὶ ἡ σὰρξ λόγος γέγονεν, οὐκ ἀπολέσασα ὅ ἐστιν, ὅ περ ἦν, ταυτιζομένη δὲ μᾶλλον πρὸς τὸν λόγον καθ' ὑπόστασιν. διὸ θαρρῶν, εἰκονίζω θεὸν τὸν ἀόρατον, δι' ἡμᾶς γενόμενον ἐν μεθέξει σαρκὸς καὶ αἵματος. οὐ τὴν ἀόρατον εἰκονίζω θεότητα, ἀλλ' εἰκονίζω θεοῦ τὴν ὁραθεῖσαν σάρκα. εἰ γὰρ ψυχὴν εἰκονίσαι ἀμήχανον, πόσω μᾶλλον τὸν καὶ τῇ ψυχῇ δόντα τὸ ἄϋλον; ἀλλά φασιν, εἶπεν ὁ θεὸς διὰ μωϋσέος τοῦ νομοθέτου, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ, οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἐν τῇ γῇ. ἀδελφοί, ὄντως πλανῶνται οἱ μὴ εἰδότες ὡς τὸ γράμμα ἀποκτένει, τὸ δὲ πνεῦμα ζωοποιεῖ, οἱ μὴ ἐρευνῶντες τὸ ὑπὸ τῷ γράμματι κεκρυμμένον πνεῦμα. πρὸς οὓς ἂν ἀξίως εἴποιμι. ὁ ταῦτα διδάξας ὑμᾶς, διδαξάτω καὶ τὸ ἑπόμενον. μάθε ὅπως ἑρμηνεύει αὐτὸ ὁ νομοθέτης, ὧδέ πως ἐν τῷ δευτερονομίῳ λέγων. καὶ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐκ μέσου τοῦ πυρὸς, φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν. Καὶ μετ' ὀλίγα. Καὶ φυλάξασθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε

κύριος πρὸς ὑμᾶς ἐν χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς, μήποτε ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα. πᾶσαν εἰκόνα. ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ. ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς. ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ. καὶ τὰ ἑξῆς. Καὶ μετὰ βραχέα. μήποτε ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς. Ὁρᾷς, ὅτι εἷς ἐστιν ὁ σκοπὸς, ὥστε μὴ λατρεῦσαι τῇ κτίσει παρὰ τὸν κτίσαντα; μὴ δὲ προσάγειν τὴν τῆς λατρείας προσκύνησιν, ἀλλ' ἢ μόνῳ τῷ δημιουργῷ; διὸ πανταχῇ συνάπτει τῇ προσκυνήσει τὴν λατρείαν. Πάλιν γράφησιν. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ. οὐ ποιήσεις σεαυτῷ γλυπτὸν πᾶν ὁμοίωμα. οὐ προσκυνήσεις αὐτοῖς, οὐ δ' οὐ μὴ λατρεύσεις αὐτοῖς, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. Καὶ πάλιν. τοὺς βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν συντρίψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί, οὐ γὰρ μὴ προσκυνήσητε θεῷ ἑτέρῳ. Καὶ μετ' ὀλίγα. καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις ἑαυτῷ. Ὁρᾷς, ὡς τῆς εἰδωλολατρείας

αἰτία, ἀπαγορεύει τὴν εἰκονογραφίαν; ὅτι ἀδύνατον εἰκονίζεσθαι θεὸν τὸν ἄποσον, καὶ ἀπερίγραπτον, καὶ ἀόρατον. οὐ γὰρ εἶδος αὐτοῦ φησιν ἑωράκατε. καθὰ καὶ Παῦλος ἐν μέσῳ ἑστὼς τοῦ ἀρείου πάγου, φησί. γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. Ἰουδαίοις μὲν οὖν, διὰ τὸ πρὸς εἰδωλολατρείαν εὐόλισθον, ταῦτα νενομοθέτητο. ἡμεῖς δὲ θεολογικῶς εἰπεῖν, οἷς ἐδόθη φυγοῦσι τὴν δεισιδαίμονα πλάνην, καθαρῶς μετὰ θεοῦ γενέσθαι, ἐπεγνωκόσι τὴν ἀλήθειαν, καὶ θεῷ μόνῳ λατρεύειν, καὶ τῆς θεογνωσίας καταπλουτῆσαι τὴν τελειότητα, καὶ εἰς ἄνδρα καταντῆσαι τέλειον, παρελθοῦσι τὴν νηπιότητα, οὐκέτι ὑπὸ παιδαγωγὸν ἐσμέν, λαβόντες τὴν διακριτικὴν ἕξιν παρὰ θεοῦ, καὶ εἰδότες τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ εἰκόνι μὴ περιγραφόμενον. ὁ μὲν γὰρ νόμος, παιδαγωγὸς ἡμῶν γέγονεν εἰς χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. καὶ ὑπὸ τὰ στοιχεῖα ἦμεν δεδουλωμένοι, ὅτε ἦμεν νήπιοι, ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν, οὐ γὰρ εἶδος αὐτοῦ φησιν ἑωράκατε. ὦ βαβαὶ τῆς σοφίας τοῦ νομο

θέτου. πῶς εἰκονισθήσεται τὸ ἀόρατον; πῶς εἰκασθήσεται τὸ ἀνείκαστον; πῶς γραφήσεται τὸ ἄποσον καὶ ἀμέγεθες καὶ ἀόριστον καὶ ἀνείδεον; πῶς χρωματουργηθήσεται τὸ ἀσώματον; πῶς σχηματισθήσεται τὸ ἀσχημάτιστον; τί οὖν τὸ μυστικῶς μηνυόμενον; δῆλον ὅτι, νῦν μὲν, θεὸν μὴ εἰκονίσῃς τὸν ἀόρατον, ὅταν δὲ ἴδῃς δι' ἐμὲ γενόμενον ἄνθρωπον τὸν ἀσώματον, τότε ποιήσεις τῆς ἀνθρωπίνης μορφῆς τὸ ἐκτύπωμα. ὅταν ὁρατὸς σαρκὶ ὁ ἀόρατος γένηται, τότε εἰκονίσεις τοῦ ὁραθέντος ὁμοίωμα. ὅτε ὁ ἄποσος καὶ ἀπήλικος καὶ ἀμεγέθης, ἐν ὑπεροχῇ τῆς ἑαυτοῦ φύσεως, ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, μορφὴν δούλου λαβὼν, ταύτῃ συσταλῇ πρὸς ποσότητά τε καὶ πηλικότητα, καὶ χαρακτῆρα περιθῆται σώματος, τότε ἐν πίνακι χάραττέ τε καὶ ἀνατίθει πρὸς θεωρίαν τὸν ὁραθῆναι καταδεξάμενον. χάραττε αὐτοῦ τὴν ἄφατον συγκατάβασιν. τὴν ἐκ παρθένου γέννησιν. τὴν ἐν Ἰορδάνῃ βάπτισιν. τὴν ἐν Θαβὼρ μεταμόρφωσιν. τὰ πάθη, τὰ τῆς ἀπαθείας πρόξενα. τὰ θαύματα, τὰ τῆς θείας αὐτοῦ φύσεως καὶ ἐνεργείας σύμβολα, δι' ἐνεργείας σαρκὸς ἀποτελούμενα. τοῦ σωτῆρος τὴν σωτήριον ταφήν. τὴν ἀνάστασιν. τὴν εἰς οὐρα

νοεῖσθαι ἄνοδον. πάντα γράφε καὶ λόγῳ καὶ χρώμασιν, ἔν τε βίβλοις καὶ πίναξιν. οὐ ποιήσεις ἑαυτῷ φησὶ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα. ταῦτα τοῦ θεοῦ προστάξαντος, ἐποίησαν φησὶ τὸ καταπέτασμα τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐξ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν χερουβίμ. καὶ ἐποίησαν τὸ ἱλαστήριον ἄνωθεν τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ, καὶ τὰ δύο χερουβίμ. τί ποιεῖς ὦ Μωσῆ; σὺ λέγεις οὐ ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ πᾶν ὁμοίωμα, καὶ σὺ καταπέτασμα κατασκευάζεις ἔργον ὑφαντὸν χερουβίμ, καὶ δύο χερουβὶμ ἐκ χρυσίου καθαροῦ; ἀλλ᾽ ἄκουε τί πρὸς σὲ ὁ θεράπων τοῦ θεοῦ Μωϋσῆς τοῖς πράγμασιν ἀποφθέγγεται. ὦ τυφλοὶ καὶ μωροὶ, σύνετε τῶν λεγομένων τὴν δύναμιν, καὶ φυλάξασθε σφόδρα τὰς ψυχὰς ἡμῶν. εἶπον ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει, ἐκ μέσου τοῦ πυρὸς, μή ποτε ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ. οὐκ εἶπον οὐ ποιήσεις εἰκόνα χερουβὶμ, ὡς δούλων παρεστηκότων τῷ ἱλαστηρίῳ, ἀλλ᾽ οὐ ποιήσεις σεαυτῷ θεοὺς χω-

νόντοις, καὶ οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὡς
θεούς, οὐδ' οὐ μὴ λατρεύσεις τῇ κτίσει παρὰ τὸν
κτίσαντα. ὁμοίωμα μὲν οὖν θεοῦ οὐκ ἐποίη-
σε, οὐδὲ μὴν ἑτέρου τινὸς ὡς θεοῦ, οὐδὲ ἀν-
θρώπου, δεδούλωτο γὰρ τῇ ἁμαρτίᾳ ἡ φύ-
σις τῆς ἀνθρωπότητος, οὐδὲ ἐλάτρευσε τῇ
κτίσει παρὰ τὸν κτίσαντα. πάσης δὲ τῆς κτί-
σεως ὁμοίωμα τὴν σκηνὴν κατεσκεύασε κα-
τὰ τὸν τύπον τὸν δειχθέντα μοι ἐν τῷ ὄρει, καὶ
χερουβὶμ σκιάζοντα τὸ ἱλαστήριον, ὡς θεῷ
παρεστηκότα. εἶδες πῶς ἀνεφάνη ὁ σκοπὸς
τῆς γραφῆς τοῖς συνετῶς ἐρευνῶσι; δεῖ
γὰρ γινώσκειν ἀγαπητοί, ὅτι ἐν παντὶ πρά-
γματι, ἡ ἀλήθεια ζητεῖται, καὶ τὸ ψεῦδος,
καὶ ὁ σκοπὸς τοῦ ποιοῦντος, εἰ καλός ἐστιν,
ἢ κακός. ἐν μὲν γὰρ τῷ εὐαγγελίῳ, καὶ θεὸς
καὶ ἄγγελος. καὶ ἄνθρωπος. καὶ γῆ. καὶ
ὕδωρ. καὶ πῦρ. καὶ ἀήρ. καὶ ἥλιος. καὶ
σελήνη. καὶ ἄστρα. καὶ φῶς. καὶ σκότος.
καὶ σατανᾶς. καὶ δαίμονες. καὶ ὄφεις.
καὶ σκορπίοι. καὶ ζωή. καὶ θάνατος. καὶ
ᾅδης. καὶ ἀρεταί. καὶ κακίαι. καὶ πάν-
τα καλά τε καὶ κακὰ ἐπιγεγραμμένα,
ἀλλ' ὅμως ἐπειδὴ τὰ περὶ αὐτῶν λεγόμενα
ἀληθῆ εἰσι, καὶ ὁ σκοπὸς πρὸς δόξαν θεοῦ ἐστι
καὶ σωτηρίαν ἡμῶν, καὶ δόξα μὲν τῆς ὑπ' αὐ-

τῶν δοξαζομένων ἁγίων, αἰσχύνη δὲ τοῦ διαβό-
λου καὶ τῶν δαιμόνων αὐτοῦ, προσκυνοῦ-
μεν καὶ περιπτυσσόμεθα καὶ καταφιλοῦ-
μεν, καὶ ὀφθαλμοῖς καὶ χείλεσι καὶ καρδίᾳ
ἀσπαζόμεθα. ὁμοίως καὶ πᾶσαν τὴν πα-
λαιὰν καὶ καινὴν διαθήκην, σύν τε λόγοις τῶν
ἁγίων καὶ ἐκκρίτων πατέρων. τὰς δὲ αἰ-
σχρὰς καὶ μυσαρὰς καὶ ἀκαθάρτους γραφὰς
τῶν καταράτων μανιχαίων, τὰ αὐτὰ ὀνό-
ματα περιέχουσαν, καὶ πρὸς δόξαν τοῦ δια-
βόλου καὶ τῶν δαιμόνων αὐτοῦ, καὶ ἀπώλειαν
ψυχῶν ἐφευρεθεῖσαν, ἀποπτύομεν καὶ ἀπο-
βαλλόμεθα. οὕτω καὶ ἐν τῷ πράγματι τῶν
εἰκόνων, χρὴ ἐρευνᾶν τήν τε ἀλήθειαν καὶ τὸν
σκοπὸν τῶν ποιούντων. καὶ εἰ μὲν ἀληθὴς
καὶ ὀρθὸς καὶ πρὸς δόξαν θεοῦ καὶ τῶν ἁγίων
αὐτοῦ, καὶ πρὸς ζῆλον ἀρετῆς, καὶ ἀποφυ-
γὴν κακίας, καὶ σωτηρίαν ψυχῶν γίνον-
ται, ἀποδέχεσθαι καὶ τιμᾶν, ὡς εἰκόνας καὶ
μιμήματα καὶ ὁμοιώματα, καὶ βίβλους τῶν
ἀγραμμάτων καὶ ὑπόμνησιν, καὶ προσκυ-
νεῖν, καὶ καταφιλεῖν, καὶ ὀφθαλμοῖς καὶ
χείλεσιν καὶ καρδίᾳ ἀσπάζεσθαι, ὡς σεσαρ-
κωμένου θεοῦ ὁμοίωμα, ἢ τῆς τούτου μητρὸς,
ἢ τῶν ἁγίων τῶν κοινωνῶν τῶν παθημάτων
αὐτοῦ, καὶ τῆς δόξης τοῦ χριστοῦ, καὶ νικητῶν καὶ

καθαιρετῶν

καθαίρει τῶν τοῦ διαβόλου καὶ τῶν δαιμόνων, καὶ τῆς πλάνης αὐτῶν. εἰ δὲ θεότητος τῆς ἀΰλου καὶ ἀσωμάτου εἰκόνα τὶς τολμήσει ποιῆσαι, ὡς ψευδῆ ἀποβαλλόμεθα. καὶ ἐάν τις ὧδε δόξῃ καὶ τιμῇ καὶ προσκυνήσει τοῦ διαβόλου ἢ τῶν δαιμόνων, καταπτύομεν καὶ πυρὶ ἀναλίσκομεν. καὶ ἐάν τις ἀνθρώπων, ἢ κτηνῶν, ἢ πετεινῶν, ἢ ἑρπετῶν, ἢ ἄλλης τινὸς κτίσεως θεοποιήσῃ εἰκόνα, ἀναθεματίζομεν τοῦτον. ὥσπερ γὰρ τὰ ἱερὰ καὶ τοὺς ναοὺς τῶν δαιμόνων καθεῖλον οἱ ἅγιοι πατέρες, καὶ ἐν τοῖς αὐτῶν τόποις, ναοὺς ἐπ' ὀνόματι θεοῦ καὶ ἁγίων ἤγειραν, καὶ τούτους σέβομεν, οὕτω καὶ τὰς εἰκόνας τῶν δαιμόνων καθεῖλον, καὶ ἀντ' ἐκείνων ἤγειραν εἰκόνας χριστοῦ, καὶ τῆς τούτου μητρὸς, καὶ τῶν ἁγίων, καὶ ταύτας σέβομεν. καὶ ὧδε μὲν τῆς παλαιᾶς, οὔτε ναοὺς ἐπ' ὀνόματι ἀνθρώπων ἤγειρεν ὁ Ἰσραὴλ, οὔτε μνημόσυνον ἑορτάζετο, ἔτι γὰρ ὑπὸ κατάραν ἦν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ὁ θάνατος κατάκρισις ἦν, διὸ καὶ ἐπενθεῖτο, καὶ ὁ ἁπτόμενος τοῦ σώματος τοῦ τεθνηκότος, ἀκάθαρτος ἐλογίζετο. νῦν δὲ, ἀφ' οὗ ἡ θεότης τῇ ἡμετέρᾳ φύσει ἀσυγχύτως συνεκράθη, οἷόν τι ζωοποιὸν καὶ σωτήριον φάρμακον, ὄντως ἐδοξάσθη ἡ φύσις ἡ-

μῶν, καὶ πρὸς ἀφθαρσίαν μετεστοιχειώθη, διὸ καὶ ναοὶ αὐτοῖς ἐγείρονται, καὶ εἰκόνες ἀναγράφονται. γινωσκέτω οὖν πᾶς ἄνθρωπος, ὡς ὁ τὴν εἰκόνα τὴν πρὸς δόξαν καὶ ἀνάμνησιν τοῦ χριστοῦ, ἢ τῆς τούτου μητρὸς τῆς ἁγίας θεοτόκου, ἢ τινὸς τῶν ἁγίων, ἔτι δὲ πρὸς αἰσχύνην τοῦ διαβόλου καὶ τῆς ἥττης αὐτοῦ καὶ τῶν δαιμόνων αὐτοῦ, ἐκ θείου πόθου καὶ ζήλου γινομένην, καταλύειν ἐπιχειρῶν, καὶ μὴ προσκυνῶν καὶ τιμῶν καὶ ἀσπαζόμενος πόθῳ τοῦ εἰκονιζομένου, ὡς εἰκόνα τιμίαν καὶ οὐχ ὡς θεὸν, ἐχθρός ἐστι τοῦ χριστοῦ, καὶ τῆς ἁγίας θεοτόκου, καὶ τῶν ἁγίων, ἐκδικητὴς δὲ τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ, ἔργῳ ἐνδεικνύμενος τὴν λύπην, ὅτι ὁ θεὸς καὶ οἱ ἅγιοι αὐτοῦ τιμῶνται καὶ δοξάζονται, ὁ δὲ διάβολος καταισχύνεται. ἡ γὰρ εἰκὼν, θρίαμβός ἐστι καὶ φανέρωσις καὶ στηλογραφία, εἰς μνήμην τῆς νίκης τῶν ἀριστευσάντων καὶ διαπρεψάντων, καὶ τῆς αἰσχύνης τῶν ἡττηθέντων καὶ καταβληθέντων. εἴδομεν πολλάκις ποθοῦντας, ἱμάτιον τοῦ ποθουμένου θεασαμένους, ὡς αὐτὸν τὸν ποθούμενον ἀσπαζομένους τὸ ἱμάτιον, ὀφθαλμοῖς τε καὶ χείλεσι. χρὴ ἀποδιδόναι πᾶσι τὰς ὀφειλὰς κατὰ τὸν ἅγιον Παῦλον τὸν ἀπόστολον, τῷ τὴν

τιμὴν, τὴν τιμήν. καὶ βασιλεῖ μὲν, ὡς ὑπερέ-
χοντι. τοῖς δὲ ἄρχουσιν, ὡς δι' αὐτοῦ ἀπεσταλ-
μένοις. ἑκάστῳ, κατὰ τὸ μέτρον τοῦ ἀξιώμα-
τος. ποῦ εὗρες ἐν τῇ παλαιᾷ, ἢ ἐν τῷ εὐαγ-
γελίῳ ὄνομα τριάδος, ἢ ὁμοούσιον, ἢ μίαν φύ-
σιν θεότητος ῥητῶς, ἢ τρεῖς ὑποστάσεις αὐ-
τολεξεὶ, ἢ μίαν ὑπόστασιν τοῦ χριστοῦ, ἢ δύο
φύσεις αὐτολεξεί; ἀλλ' ὅμως, ἐπειδὴ ἐκ τῶν
ἰσοδυναμουσῶν λέξεων τῶν ἐν τῇ γραφῇ κει-
μένων ὥρισαν ταῦτα οἱ ἅγιοι πατέρες, δε-
χόμεθα, καὶ τοὺς μὴ δεχομένους, ἀναθεματί-
ζομεν. ἐγὼ δὲ παριστῶ σοι ἐν τῇ παλαιᾷ, ὅτι
προσέταξεν ὁ θεὸς ποιεῖν εἰκόνας. πρῶτον
μὲν, αὐτὴν τὴν σκηνὴν, καὶ πάντα τὰ ὄντα
ἐν αὐτῇ. καὶ ἐν τοῖς εὐαγγελίοις αὐτὸς ὁ κύ-
ριος, τοῖς πειραστικῶς ἐρωτήσασιν, εἰ ἔξεστι
Καίσαρι δοῦναι κῆνσον, εἶπεν. ἀγάγετέ μοι νό-
μισμα, καὶ ὑπέδειξαν αὐτῷ δηνάριον, καὶ ἠρώ-
τησεν αὐτοὺς, τίνος εἰκόνα ἔχει. οἱ δὲ, εἶπον.
Καίσαρος. καὶ εἶπεν. ἀπόδοτε τὰ τοῦ Καίσα-
ρος, Καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ. ἐπεὶ
δὴ εἰκόνα Καίσαρος ἔχει, Καίσαρός ἐστι, καὶ ἀπό-
δοτε Καίσαρι. καὶ τὴν εἰκόνα χριστοῦ, ἀπόδο-
τε χριστῷ, χριστοῦ γάρ ἐστιν. Ὁ κύριος μακαρί-
ζων τοὺς μαθητὰς, εἶπε. πολλοὶ βασιλεῖς καὶ
προφῆται, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ

οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ὑμῶν δὲ, μακάριοί εἰσιν οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι· καὶ τὰ ὦτα, ὅτι ἀκούουσιν. εἶδον οὖν οἱ ἀπόστολοι σωματικῶς τὸν χριστὸν, καὶ τὰ πάθη, καὶ τὰ θαύματα αὐτοῦ, καὶ ἤκουσαν τῶν λόγων αὐτοῦ. ἐπιθυμοῦμεν καὶ ἡμεῖς ἰδεῖν καὶ ἀκοῦσαι καὶ μακαρισθῆναι. εἶδον ἐκεῖνοι πρόσωπον πρὸς πρόσωπον, ἐπειδὴ παρῆν σωματικῶς. ἡμεῖς δὲ, ἐπειδὴ σωματικῶς οὐ πάρεστιν, ὥσπερ διὰ βίβλων ἀκούομεν τῶν λόγων αὐτοῦ, καὶ ἁγιαζόμεθα τὴν ἀκοὴν, καὶ δι᾽ αὐτῆς τὴν ψυχὴν, καὶ μακαριζόμεθα, καὶ προσκυνοῦμεν, τιμῶντες τὰς βίβλους, δι᾽ ὧν ἀκούομεν τῶν λόγων αὐτοῦ, οὕτω καὶ διὰ γραφῆς εἰκόνων θεωροῦμεν τὸ ἐκτύπωμα τοῦ σωματικοῦ χαρακτῆρος αὐτοῦ, καὶ τῶν θαυμάτων καὶ τῶν παθημάτων αὐτοῦ, καὶ ἁγιαζόμεθα, καὶ πληροφορούμεθα, καὶ χαίρομεν, καὶ μακαριζόμεθα, καὶ σέβομεν, καὶ τιμῶμεν, καὶ προσκυνοῦμεν τὸν χαρακτῆρα αὐτοῦ τὸν σωματικόν. θεωροῦντες δὲ τὸν σωματικὸν χαρακτῆρα αὐτοῦ, ἐννοοῦμεν ὡς δυνατὸν καὶ τὴν δόξαν τῆς θεότητος αὐτοῦ. ἐπειδὴ γὰρ διπλοῖ ἐσμεν, ἐκ ψυχῆς καὶ σώματος κατεσκευασμένοι, καὶ οὐ γυμνὴ ἡμῶν ἐστιν ἡ ψυχὴ, ἀλλ᾽ ὡς ὑπὸ παραπετάσ

ματι καλύπτεται, ἀδύνατον ἡμᾶς ἐκτὸς τῶν σωματικῶν ἐλθεῖν ἐπὶ τὰ νοητά. ὥσπερ οὖν διὰ λόγων αἰσθητῶν ἀκούομεν ὠσὶ σωματικοῖς, καὶ νοοῦμεν τὰ πνευματικά, οὕτω καὶ διὰ σωματικῆς θεωρίας, ἐρχόμεθα ἐπὶ τὴν πνευματικὴν θεωρίαν. διὰ τοῦτο σῶμα καὶ ψυχὴν ἀνέλαβεν ὁ χριστὸς, ἐπειδὴ σῶμα καὶ ψυχὴν ἔχει ὁ ἄνθρωπος. διὰ τοῦτο καὶ τὸ βάπτισμα διπλοῦν, ἐξ ὕδατος καὶ πνεύματος, καὶ ἡ κοινωνία, καὶ ἡ προσευχὴ, καὶ ἡ ψαλμῳδία, πάντα διπλᾶ, σωματικὰ καὶ πνευματικὰ, καὶ φῶτα καὶ θυμιάματα. ἀλλὰ πάντα ἐάσας, κατὰ μόνων τῶν εἰκόνων ὥρμησεν ὁ διάβολος. καὶ τοσοῦτος αὐτῷ φθόνος ἐστὶ κατὰ τῶν εἰκόνων, ὡς καὶ ἐν τῷ λειμωναρίῳ τοῦ ἁγίου Σωφρονίου τοῦ πατριάρχου Ἱεροσολύμων, γέγραπται οὕτως. ἔλεγεν ὁ ἀββᾶς Θεόδωρος ὁ αἰλιώτης, ὅτι ἦν τὶς ἔγκλειστος εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἀγωνιστής. πάνυ δὲ αὐτῷ ἐπολέμει ὁ δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν, ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ λέγειν τῷ δαίμονι. ἕως πότε οὐκ ἐνδίδως μοι; ἀπόστα λοιπὸν ἀπ' ἐμοῦ. συνεγήρασάς μοι. φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς, λέγων. ὄμοσόν μοι ὅτι οὐδενὶ λέγεις, ὃ μέλλω λέγειν σοι, καὶ οὐκέτι σοι πολε-

μου. καὶ ὤμοσεν αὐτῷ ὁ γέρων, ὅτι μὰ τὸν κατοικοῦντα ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινὶ ἅπερ εἴπῃς μοι. τότε λέγει αὐτῷ ὁ δαίμων, μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ οὐκέτι σοι πολεμήσω. εἶχε δὲ ἡ εἰκὼν ἐκτύπωμα τὴν δέσποιναν ἡμῶν ἁγίαν Μαρίαν τὴν θεοτόκον, βαστάζουσαν τὸν κύριον ἡμῶν Ἰησοῦν χριστόν. Ἴδε τίνα μιμοῦνται οἱ προσκυνεῖσθαι τὰς εἰκόνας κωλύοντες, καὶ τίνος εἰσὶν ὄργανα. ὁ γὰρ δαίμων τῆς πορνείας, ᾑρετίσατο μὴ προσκυνεῖσθαι τὴν εἰκόνα τῆς δεσποίνης, ἤπερ εἰς τὴν τῆς πορνείας ἀκαθαρσίαν ἐμπεσεῖν τὸν γέροντα, ὡς μείζονα τῆς πορνείας ἁμαρτίαν ταύτην ἐπιστάμενος.

Ἀλλ' ἐπειδὴ περὶ εἰκόνος ὁ λόγος ἐστὶ καὶ προσκυνήσεως, φέρε πλατύτερον περὶ τούτων τὸν λόγον διευκρινήσωμεν. καὶ εἴπωμεν πρῶτον, τί ἐστιν εἰκών. δεύτερον, τίνος χάριν γέγονεν εἰκών. τρίτον, πόσαι διαφοραὶ εἰκόνων. τέταρτον, τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ μὴ εἰκονιζόμενον. πέμπτον, τίς πρῶτος ἐποίησεν εἰκόνας. εἶτα, καὶ περὶ προσκυνήσεως. πρῶτον, τί ἐστι προσκύνησις. δεύτερον, πόσοι τρόποι προσκυνήσεως. τρίτον, πόσα τὰ προσκυνούμενα εὑρίσκομεν ἐν τῇ γραφῇ. τέταρτον, ὅτι πᾶσα προσκύνησις διὰ τὸν φύσει

προσκυνῇ τὸν θεόν ἐστι. πέμπτον, ὅτι ἡ τῆς εἰκόνος τιμὴ ὧδε τὸ πρωτότυπον διαβαίνει.

Πρῶτον, τί ἐστιν εἰκών.

Εἰκὼν μὲν οὖν ἐστιν, ὁμοίωμα καὶ παράδειγμα καὶ ἐκτύπωμά τινος, ἐν ἑαυτῷ δεικνύον τὸ εἰκονιζόμενον, πάντως δὲ οὐ κατὰ πάντα ἔοικεν ἡ εἰκὼν τῷ πρωτοτύπῳ, τουτέστι τῷ εἰκονιζομένῳ, ἄλλο γάρ ἐστιν ἡ εἰκὼν, καὶ ἄλλο τὸ εἰκονιζόμενον, καὶ πάντως ὁρᾶται ἐν αὐτοῖς διαφορὰ, ἐπεὶ οὐκ ἄλλο τοῦτο, καὶ ἄλλο ἐκεῖνο. οἷον τί λέγω. ἡ εἰκὼν τοῦ ἀνθρώπου, εἰ καὶ τὸν χαρακτῆρα ἐκτυποῖ τοῦ σώματος, ἀλλὰ τὰς ψυχικὰς δυνάμεις οὐκ ἔχει, οὔτε γὰρ ζῇ, οὔτε λογίζεται, οὔτε φθέγγεται, οὔτε αἰσθάνεται, οὔτε μέλος κινεῖ. καὶ ὁ υἱὸς, εἰ κὰν φυσικὴ ὢν τοῦ πατρὸς, ἔχει τί παρηλλαγμένον πρὸς αὐτὸν, υἱὸς γάρ ἐστι καὶ οὐ πατήρ.

Δεύτερον, τίνος χάριν ἐστὶν ἡ εἰκών.

Πᾶσα εἰκὼν, ἐκφαντορικὴ τοῦ κρυφίου ἐστὶ καὶ δεικτική. οἷον τί λέγω. ἐπειδὴ ὁ ἄνθρωπος, οὔτε τοῦ ἀοράτου γυμνὴν ἔχει τὴν γνῶσιν, σώματι καλυπτομένης τῆς ψυχῆς, οὔτε τῶν μετ' αὐτὸν ἐσομένων, οὔτε τῶν τόπῳ διεστηκότων καὶ ἀπεχόντων, ὡς τόπῳ καὶ χρόνῳ περιγραφόμενος, πρὸς ὁδηγίαν γνώσεως, καὶ φανέρωσιν καὶ δημοσίευσιν τῶν κεκρυμμέ-

νων ἐπενοήθη ἡ εἰκὼν; πάντως δὲ πρὸς ὠφέλειαν καὶ εὐεργεσίαν καὶ σωτηρίαν, ὅπως στηλιτευομένων καὶ θριαμβευομένων τῶν πραγμάτων, διαγνῶμεν τὰ κεκρυμμένα. καὶ τὰ μὲν καλὰ, ποθήσωμεν καὶ ζηλώσωμεν, τὰ δὲ ἐναντία, τουτέστι τὰ κακὰ, ἀποστραφῶμεν καὶ μισήσωμεν.

Τρίτον, πόσαι διαφοραὶ εἰκόνων.

Διαφοραὶ δὲ εἰκόνων εἰσὶ, πρώτη μὲν οὖν εἰκών ἐστιν, ἡ φυσική. ἐν ἑκάστῳ δὲ πράγματι, δεῖ πρῶτον εἶναι τὸ κατὰ φύσιν, καὶ τότε τὸ κατὰ θέσιν καὶ μίμησιν. οἷον. δεῖ πρῶτον εἶναι φύσει ἄνθρωπον, καὶ τότε θέσει κατὰ μίμησιν. πρώτη οὖν φυσικὴ καὶ ἀπαράλλακτος εἰκὼν τοῦ ἀοράτου θεοῦ, ὁ υἱὸς τοῦ πατρὸς, ἐν ἑαυτῷ δεικνὺς τὸν πατέρα, θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε. Καὶ πάλιν. οὐχ' ὅτι τὸν πατέρα τὶς ἑώρακεν. Ὅτι δὲ εἰκών ἐστιν ὁ υἱὸς τοῦ πατρὸς, φησὶν ὁ ἀπόστολος. ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου θεοῦ. καὶ πρὸς ἑβραίους. ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. καὶ ὅτι ἐν ἑαυτῷ δεικνύει τὸν πατέρα, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ τοῦ Φιλίππου εἰπόντος, δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν, φησὶν ὁ κύριος. τοσοῦτον χρόνον ἔχω μεθ' ὑμῶν, καὶ

οὐκ ἔγνωκάς με Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἔστι μὲν ὁ υἱὸς, εἰκὼν τοῦ πατρὸς φυσικὴ, ἀπαράλλακτος, κατὰ πάντα ὁμοία τῷ πατρὶ, πλὴν τῆς ἀγεννησίας καὶ τῆς πατρότητος. ὁ μὲν γὰρ πατὴρ, γεννήτωρ ἀγέννητος, ὁ δὲ υἱὸς, γεννητὸς καὶ οὐ πατήρ· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, εἰκὼν τοῦ υἱοῦ· οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. διὰ πνεύματος οὖν ἁγίου γινώσκομεν τὸν χριστὸν, υἱὸν τοῦ θεοῦ καὶ θεὸν, καὶ ἐν τῷ υἱῷ καθορῶμεν τὸν πατέρα. φύσει γὰρ νοούμενα, λόγος. ἄγγελος. λόγου δὲ μηνυτικὸν, τὸ πνεῦμα. ὁμοία δὲ καὶ ἀπαράλλακτος ἐστὶν εἰκὼν τοῦ υἱοῦ, τὸ πνεῦμα τὸ ἅγιον, ἐν μόνῳ τῷ ἐκπορευτῷ τὸ διάφορον ἔχον. ὁ μὲν γὰρ υἱὸς, γεννητὸς, ἀλλ' οὐκ ἐκπορευτός. καὶ ἑκάστου δὲ πατρὸς ὁ υἱὸς, φυσική ἐστιν εἰκών. καὶ οὗτος μὲν ὁ πρῶτος τρόπος τῆς εἰκόνος, ὁ φυσικός. Δεύτερος τρόπος εἰκόνος, ἡ ἐν τῷ θεῷ τῶν ὑπ' αὐτοῦ ἐσομένων ἔννοια, τουτέστιν ἡ προαιώνιος αὐτοῦ βούλησις, ἡ ἀεὶ ὡσαύτως ἔχουσα, ἄτρεπτον γὰρ τὸ θεῖον, καὶ ἡ βούλησις αὐτοῦ ἄναρχος. ἣ καθὼς προαιωνίως ἠβουλήθη, ἐν τῷ προορισθέντι ὑπ' αὐτοῦ καιρῷ γίνεται τὰ ὁρισθέντα. εἰκόνες γὰρ καὶ παραδείγματα τῶν ὑπ' αὐτοῦ ἐσομένων, ἡ περὶ ἑκάστου αὐ

τῆς ἔννοια, οἳ καὶ προορισμοὶ παρὰ τῷ ἁγίῳ Διονυσίῳ ὀνομάζονται, ἐν γὰρ τῇ βουλῇ αὐτοῦ ἐχαρακτηρίζετο καὶ εἰκονίζετο πρὶν γενέσεως αὐτῆς, τὰ ὑπ' αὐτοῦ προωρισμένα, καὶ ἀπαραβάτως ἐσόμενα. Τρίτος τρόπος εἰκόνος, ὁ κατὰ μίμησιν ὑπὸ θεοῦ γενόμενος, ὅν ἐστιν ὁ ἄνθρωπος· πῶς γὰρ ὁ κτιστὸς, τῆς αὐτῆς φύσεως ἔσται τῷ ἀκτίστῳ; ἀλλὰ κατὰ μίμησιν. ὥσπερ γὰρ νοῦς ὁ πατὴρ, καὶ λόγος ὁ υἱὸς, καὶ πνεῦμα τὸ ἅγιον, εἷς θεὸς, οὕτω καὶ νοῦς καὶ λόγος καὶ πνεῦμα, εἷς ἄνθρωπος, καὶ κατὰ τὸ αὐτεξούσιον καὶ ἀρχικὸν, λέγει γὰρ ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ εὐθέως ἐπήγαγε, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ. Καὶ πάλιν. καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάσης τῆς γῆς, καὶ κατακυριεύσατε αὐτῆς. Τέταρτος τρόπος εἰκόνος, τῆς γραφῆς, σχήματα καὶ μορφὰς καὶ τύπους ἀναπλαττούσης τῶν ἀοράτων καὶ ἀσωμάτων, σωματικῶς τυπουμένων, πρὸς ἀμυδρὰν κατανόησιν θεοῦ τε καὶ ἀγγέλων, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς τὰ ἀσώματα, ἄνευ σχημάτων ἀναλογούντων ἡμῖν, θεωρεῖν, καθὼς φησιν ὁ πολὺς τὰ θεῖα

Διονύσιος ὁ ἀρεοπαγίτης. ὅτι μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι, καὶ τὰ σχήματα τῶν ἀσχηματίστων, οὐ μόνην αἰτίαν φαίη τις εἶναι τὴν καθ᾽ ἡμᾶς ἀναλογίαν, ἀδυνατοῦσαν ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ δεομένην οἰκείων καὶ συμφυῶν ἀναγωγῶν. εἰ τοίνυν τῆς ἡμῶν προνοῶν ἀναλογίας ὁ θεῖος λόγος, πάντοθεν τὸ ἀνατατικὸν ἡμῖν πορίζόμενος, καὶ τοῖς ἁπλοῖς καὶ ἀμορφώτοις τύπους τινὰς περιτίθησι, πῶς μὴ εἰκονίσει τὰ σχήμασι μεμορφωμένα κατὰ τὴν οἰκείαν φύσιν, καὶ ποθούμενα μὲν, διὰ δὲ τὸ μὴ παρεῖναι, ὁρᾶσθαι μὴ δυνάμενα; φησὶ γοῦν ὁ θεορρήμων Γρηγόριος, ὅτι πολλὰ κάμνων ὁ νοῦς, ἐκβῆναι τὰ σωματικὰ πάντη ἀδυνατεῖ. ἀλλὰ καὶ τὰ ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται. ὁρῶμεν δὲ καὶ ἐν τοῖς κτίσμασιν εἰκόνας, μηνυούσας ἡμῖν ἀμυδρῶς τὰς θείας ἐμφάσεις. ὡς ὅτε λέγομεν τὴν ἁγίαν τριάδα τὴν ὑπεράρχιον, εἰκονίζεσθαι δι᾽ ἡλίου, καὶ φωτὸς, καὶ ἀκτῖνος. ἢ πηγῆς ἀναβλυζούσης, καὶ πηγαζομένου νάματος, καὶ προχοῆς. ἢ νοῦ, καὶ λόγου, καὶ πνεύματος τοῦ καθ᾽ ἡμᾶς. ἢ ῥόδου φυτοῦ, καὶ ἄνθους, καὶ εὐωδίας. Πέμπτος

τρόπος εἰκόνος λέγεται, ὁ προεικονίζων καὶ
προδιαγράφων τὰ μέλλοντα, ὡς ἡ βάτος
καὶ ὁ τοῦ πόκου ὑετὸς, τὴν παρθένον καὶ θεο
τόκον, καὶ ἡ ῥάβδος καὶ ἡ στάμνος, καὶ ὡς ὁ ὄ-
φις τὸν τὸ δῆγμα διὰ σταυροῦ καταργήσαν-
τας τοῦ ἀρχεκάκου ὄφεως. ἥ τε θάλασσα, τὸ
ὕδωρ. καὶ ἡ νεφέλη, τὸ τοῦ βαπτίσματος
πνεῦμα. Ἐκτος τρόπος εἰκόνος, ὁ πρὸς μνή-
μην τῶν γεγονότων ἢ θαύματος, ἢ ἀρετῆς,
πρὸς δόξαν καὶ τιμὴν καὶ στηλογραφίαν τῶν
ἀριστευσάντων καὶ ἐν ἀρετῇ διαπρεψάντων,
ἢ κακίας, πρὸς θρίαμβον καὶ αἰσχύνην τῶν
κακίστων ἀνδρῶν, πρὸς τὴν εἰς ὕστερον τῶν θεω
μένων ὠφέλειαν, ὡς ἂν τὰ μὲν κακὰ φύγω-
μεν, τὰς δὲ ἀρετὰς ζηλώσωμεν. διπλῆ δὲ
αὕτη, διά τε λόγου ταῖς βίβλοις ἐγγραφο-
μένου, εἰκονίζει γὰρ τὸ γράμμα τὸν λόγον, ὡς
ὁ θεὸς τὸν νόμον ταῖς πλαξὶν ἐνεκόλαψε,
καὶ τῶν τῶν θεοφιλῶν ἀνδρῶν βίους ἀνα-
γράπτους γενέσθαι προσέταξε, καὶ διὰ θεω
ρίας αἰσθητῆς, ὡς τὴν στάμνον καὶ τὴν ῥάβ
δον ἐν τῇ κιβωτῷ τεθῆναι προσέταξεν, εἰς
μνημόσυνον αἰώνιον. καὶ ὡς τὰ ὀνόματα τῶν
φυλῶν, ἐγκολαφθῆναι τοῖς λίθοις τῆς ἐπω
μίδος ἐκέλευσεν. οὐ μὴν, ἀλλὰ καὶ τοὺς δώ-
δεκα λίθους, αρθῆναι ἐκ τοῦ ἰορδάνου εἰς τύ-

πον τῶν ἱερέων. ϛαβαὶ τοῦ μυστηρίου, ὡς μέγιστον τοῖς πιστοῖς ἐν ἀληθείᾳ, τῶν αἰρόντων τὴν κιβωτὸν, καὶ τῆς τοῦ ὕδατος ἐκλείψεως. οὕτω καὶ νῦν τὰς εἰκόνας τῶν προγεγονότων ἐναρέτων ἀνδρῶν, πρὸς ζῆλον καὶ μνήμην, καὶ ζῆλον ἡμῶν, πόθῳ ἀναγράφομεν. ἢ ἀναίνου πᾶσαν εἰκόνα ἄνελε, καὶ ἀντινομοθέτει τῷ ταῦτα προστάξαντι γίνεσθαι, ἢ ἑκάστην δέχου κατὰ τὸν ἑκάστῃ πρέποντα λόγον καὶ τρόπον.

Τέταρτον κεφάλαιον, τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ μὴ εἰκονιζόμενον, καὶ πῶς ἕκαστον εἰκονίζεται.

Τὰ μὲν σώματα, ὡς καὶ σχήματα καὶ περιγραφὴν σωματικὴν ἔχοντα καὶ χρῶμα, εἰκότως εἰκονίζονται. ἄγγελος δὲ καὶ ψυχὴ καὶ δαίμων, εἰ καὶ μὴ σωματικῶς καὶ παχέως, ἀλλὰ κατὰ τὴν ἑαυτῶν φύσιν, καὶ σχηματίζονται καὶ περιγράφονται. νοητοὶ γὰρ ὄντες, ἐν νοητοῖς τόποις, νοητῶς παρεῖναι καὶ ἐνεργεῖν πιστεύονται. εἰκονίζονται μὲν οὖν σωματικῶς, ὡς εἰκόνισε Μωσῆς τὰ χερουβὶμ, καὶ ὡς ὁράθησαν τοῖς ἀξίοις, ἀλλ' ἀσώματον καὶ νοητήν τινα θεωρίαν δηλούσης τῆς σωματικῆς εἰκόνος. ἡ δὲ θεία φύσις, ἀπερίγραπτός ἐστι μόνη, καὶ παντελῶς ἀνείδεος, καὶ

ἀσχημάτιστος καὶ ἀκατάληπτος, εἰ καὶ ἡ θεία γραφὴ τύπους θεῷ περιτίθησι, τῷ μὲν δοκεῖν, σωματικούς, ὥστε σχήματα ὁρᾶσθαι, καὶ αὐτοὺς δὲ, ἀσωμάτους, οὐ γὰρ σωματικοῖς ὀφθαλμοῖς, ἀλλὰ νοεροῖς ἑωρῶντο τοῖς προφήταις, καὶ οἷς ἀπεκαλύπτοντο, οὐ γὰρ πᾶσιν ἑωρῶντο. ἁπλῶς δὲ λόγῳ εἰπεῖν, δυνάμεθα ποιεῖν εἰκόνας πάντων τῶν σχημάτων, ὧν εἴδωμεν, νοοῦμεν δὲ ταῦτα, καθὼς ὡράθη. εἰ γὰρ καὶ ἀπὸ λόγων ἔσθ' ὅτε κατανοοῦμεν σχήματα, ἀλλ' ἐξ ὧν εἴδωμεν, καὶ ἐπὶ τὴν τούτων ἐρχόμεθα κατανόησιν, οὕτω καὶ ἐφ' ἑκάστης αἰσθήσεως, ἐξ ὧν ὀσφραινόμεθα, ἢ ἐγευσάμεθα, ἢ ἡψάμεθα, διὰ λόγων ἐπὶ τὴν τούτων ἐρχόμεθα κατανόησιν. οἴδαμεν οὖν ὅτι οὔτε θεοῦ, οὔτε ἀγγέλου, οὔτε ψυχῆς, οὔτε δαίμονος δυνατὸν θεαθῆναι φύσιν, ἀλλ' ἐν μετασχηματισμῷ τινι θεωροῦνται ταῦτα, τῆς θείας προνοίας τύπους καὶ σχήματα περιτιθείσης τοῖς ἀσωμάτοις καὶ ἀτυπώτοις, καὶ μὴ ἔχουσι σχηματισμὸν σωματικῶς, πρὸς τὸ χειραγωγηθῆναι ἡμᾶς, καὶ πρὸς παχυμερῆ καὶ μερικὴν αὐτῶν γνῶσιν, ἵνα μὴ ἐν παντελεῖ ἀγνοίᾳ ὦμεν θεοῦ, καὶ τῶν ἀσωμάτων κτισμάτων. ὁ μὲν γὰρ θεὸς, φύσει καὶ παντελῶς ἀσώματος. ἄγγελος δὲ καὶ ψυχὴ καὶ

δαίμων, πρὸς μὲν Θεὸν συγκρινόμενοι τὸν μόνον ἀσύγκριτον, σώματά εἰσι, πρὸς δὲ τὰ ὑλικὰ σώματα, ἀσώματοι. μὴ θέλων οὖν ὁ θεὸς, παντελῶς ἀγνοεῖν ἡμᾶς τὰ ἀσώματα, περιέθηκεν αὐτοῖς τύπους καὶ σχήματα καὶ εἰκόνας κατὰ τὴν ἀναλογίαν τῆς φύσεως ἡμῶν, σχήματα σωματικὰ ἐν ἀΰλῳ ὁράσει νοὸς ὁρώμενα, καὶ ταῦτα σχηματίζομεν καὶ εἰκονίζομεν. ἐπεὶ, πῶς ἐσχηματίσθη καὶ εἰκονίσθη τὰ χερουβίμ; ἀλλὰ καὶ Θεοῦ σχήματα καὶ εἰκόνας ἡ γραφὴ ἔχει.

Τίς πρῶτος ἐποίησεν εἰκόνα.

Αὐτὸς ὁ Θεὸς πρῶτος ἐγέννησε τὸν μονογενῆ υἱὸν καὶ λόγον αὐτοῦ, εἰκόνα αὐτοῦ ζῶσαν, φυσικὴν, ἀπαράλλακτον χαρακτῆρα τῆς αὐτοῦ ἀϊδιότητος, ἐποίησέ τε τὸν ἄνθρωπον κατ' εἰκόνα αὐτοῦ καὶ καθ' ὁμοίωσιν. καὶ Ἀδὰμ εἶδε θεὸν, καὶ ἤκουσε τῆς φωνῆς τῶν ποδῶν αὐτοῦ περιπατοῦντος τὸ δειλινὸν, καὶ ἐκρύβη ἐν τῷ παραδείσῳ. καὶ Ἰακὼβ, εἶδε καὶ ἐπάλαισε μετὰ τοῦ Θεοῦ. δῆλον δὲ, ὅτι ὡς ἄνθρωπος ἐφάνη αὐτῷ ὁ Θεός. καὶ Μωσῆς, ὡς ὀπίσθια ἀνθρώπου εἶδε. καὶ Ἡσαΐας, ὡς ἄνθρωπον εἶδε καθήμενον ἐπὶ θρόνου. καὶ Δανιὴλ, ὁμοίωμα ἀνθρώπου εἶδε, καὶ ὡς υἱὸν ἀνθρώπου ἐλθόντα ἐπὶ τὸν παλαιὸν τῶν ἡμερῶν, καὶ οὐ φύσιν Θεοῦ εἶδέ τις.

ἀλλὰ τὸν τύπον καὶ τὴν εἰκόνα τοῦ μέλλον-
τος ἔσεσθαι, ἔμελλε γὰρ ὁ υἱὸς καὶ λόγος τοῦ
θεοῦ ὁ ἀόρατος, ἄνθρωπος γίνεσθαι ἐν ἀλη-
θείᾳ, ἵνα ἑνωθῇ τῇ φύσει ἡμῶν, καὶ ὁραθῇ
ἐπὶ γῆς. προσεκύνησαν οὖν πάντες οἱ ἰδόν-
τες τὸν τύπον καὶ τὴν εἰκόνα τοῦ μέλλοντος,
καθὼς Παῦλος φησὶν ὁ ἀπόστολος ἐν τῇ πρὸς
Κεφ. ια΄. Ἑβραίους ἐπιστολῇ. κατὰ πίστιν ἀπέθανον οὗ-
τοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγε-
λίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ
ἀσπασάμενοι. ἐγὼ οὖν, οὐ μὴ ποιήσω εἰ-
κόνα, τοῦ δι' ἐμὲ ὀφθέντος σαρκὸς φύσει; καὶ
προσκυνήσω καὶ τιμήσω αὐτὸν διὰ τῆς εἰς
τὴν εἰκόνα αὐτοῦ τιμῆς καὶ προσκυνήσεως;
εἶδεν Ἀβραὰμ, οὐ φύσιν θεοῦ, θεὸν γὰρ οὐ-
δεὶς ἑώρακε πώποτε, ἀλλ' εἰκόνα θεοῦ, καὶ
πεσὼν προσεκύνησεν. εἶδεν Ἰησοῦς ὁ τοῦ Ναυῆ,
οὐ φύσιν ἀγγέλου, ἀλλ' εἰκόνα, φύσις γὰρ
ἀγγέλου σωματικοῖς οὐχ ὁρᾶται ὀφθαλ-
μοῖς, καὶ πεσὼν προσεκύνησεν. ὁμοίως καὶ
Δανιήλ, ἄγγελος δὲ, οὐ θεὸς, ἀλλὰ κτίσ-
μα καὶ δοῦλος θεοῦ καὶ παραστάτης, προσε-
κύνησε δὲ, οὐχ ὡς θεῷ, ἀλλ' ὡς θεοῦ παρα-
στάτῃ καὶ λειτουργῷ. κἀγὼ μὴ ποιήσω εἰκόνας
τῶν φίλων τοῦ χριστοῦ; καὶ μὴ προσκυνήσω, οὐ-
χ' ὡς θεοῖς, ἀλλ' ὡς εἰκόσι φίλων θεοῦ; οὔ-

τε γὰρ Ἰησοῦς, οὔτε Δανιὴλ, ὡς θεοῖς προσε-
κύνησαν τοῖς ὀφθεῖσιν ἀγγέλοις. οὐδὲ ἐγὼ
ὡς θεῷ προσκυνῶ τῇ εἰκόνι, ἀλλὰ διὰ τῆς
εἰκόνος καὶ τῶν ἁγίων, τῷ θεῷ προσάγω τὴν
προσκύνησιν καὶ τὴν τιμὴν, δι᾽ ὃν καὶ τοὺς αὐ-
τοῦ φίλους σέβω, καὶ δι᾽ αὐτοὺς ἄγω. οὐχ ἡ-
νώθη φύσει ἀγγέλων ὁ θεὸς, ἡνώθη δὲ φύ-
σει ἀνθρώπων. οὐκ ἐγένετο ὁ θεὸς ἄγγελος,
ἐγένετο δὲ ὁ θεὸς φύσει καὶ ἀληθείᾳ ἄνθρω-
πος, οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνε-
ται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβά-
νεται. οὐκ ἐγένετο φύσις ἀγγέλων, υἱὸς θεοῦ
καθ᾽ ὑπόστασιν, ἐγένετο δὲ φύσις ἀνθρώ-
που, υἱὸς θεοῦ καθ᾽ ὑπόστασιν. οὐ μετέχου
ἄγγελοι, οὐδὲ ἐγένοντο θείας κοινωνοὶ φύ-
σεως, ἀλλ᾽ ἐνεργείας καὶ χάριτος, ἄνθρωποι
δὲ, μετέχουσι, καὶ κοινωνοὶ θείας φύσεως γί-
νονται, ὅσοι μεταλαμβάνουσι τὸ σῶμα τοῦ χρι-
στοῦ τὸ ἅγιον, καὶ πίνουσι τὸ αἷμα αὐτοῦ τὸ τί-
μιον, θεότητι γὰρ καθ᾽ ὑπόστασιν ἥνωται. καὶ
δύο φύσεις ἐν τῷ μεταλαμβανομένῳ ὑφ᾽ ἡμῶν
σώματι τοῦ χριστοῦ, ἡνωμέναι καθ᾽ ὑπόστασιν
εἰσὶν ἀδιασπάστως. καὶ τῶν δύο φύσεων με-
τέχομεν, τοῦ σώματος, σωματικῶς. τῆς θεό-
τητος, πνευματικῶς. μᾶλλον δὲ ἀμφοῖν κα-
τ᾽ ἄμφω. οὐ καθ᾽ ὑπόστασιν ταυτιζόμενοι,

ὑφιστάμεθα γὰρ πρῶτον καὶ τότε ἑνούμε-
θα, ἀλλὰ κατὰ συνανάκρασιν τοῦ σώματος
καὶ αἵματος. καὶ πῶς οὐ μείζονες ἀγγέ-
λων, οἱ φυλάττοντες διὰ τῆς τηρήσεως τῶν
ἐντολῶν εἰλικρινῆ τὴν ἕνωσιν; ἡ μὲν φύσις
ἡμῶν, βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένη
διὰ τὸν θάνατον καὶ τὴν τοῦ σώματος παχύ-
τητα, ἀλλ᾽ εὐδοκίᾳ καὶ συναφείᾳ θεοῦ, γέ-
γονεν ἀγγέλων μείζων. παρίστανται γὰρ αὐ-
τῇ μετὰ φόβου καὶ τρόμου ἄγγελοι, καθη-
μένῃ ἐπὶ τοῦ θρόνου τῆς δόξης ἐν τῷ χριστῷ,
καὶ παραστήσονται ἔντρομοι ἐν τῇ κρίσει. οὐ
συγκαθεύδοντες, οὐδὲ κοινωνοὶ τῆς θείας δό-
ξης ὑπὸ τῆς γραφῆς ἐρρήθησαν, εἰσὶ γὰρ πάν-
τες λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀ-
ποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν, οὐδ᾽ ὅτι συμβασιλεύσουσιν, οὐδ᾽ ὅ-
τι συνδοξασθήσονται, οὐδ᾽ ὅτι ἐπὶ τῆς τραπέ-
ζης τοῦ πατρὸς καθήσουσιν. οἱ δὲ ἅγιοι, υἱοὶ
θεοῦ, υἱοὶ τῆς βασιλείας, καὶ κληρονόμοι
θεοῦ, καὶ συγκληρονόμοι χριστοῦ. τιμῶ οὖν
τοὺς ἁγίους, καὶ συνδοξάζω τοὺς δούλους καὶ
φίλους καὶ συγκληρονόμους χριστοῦ. τοὺς δού-
λους, ἐκ φύσεως. καὶ φίλους, ἐκ προαιρέσεως.
καὶ υἱοὺς καὶ κληρονόμους, ἐκ θείας χάριτος,
ὡς φησὶν ὁ κύριος πρὸς τὸν πατέρα. Εἰπόντες

τοίνυν περὶ εἰκόνος, εἴπωμεν καὶ περὶ προσκυνήσεως, καὶ πρῶτον, τί ἐστι προσκύνησις.

Περὶ προσκυνήσεως. τί ἐστι προσκύνησις.

Προσκύνησις τοίνυν ἐστὶ, σημεῖον ὑποπτώσεως, ὑπείξεως, ὑποβάσεως, καὶ ταπεινώσεως. τρόποι δὲ προσκυνήσεως, εἰσὶ πλεῖστοι.

Πόσοι τρόποι προσκυνήσεως.

Πρῶτος τρόπος προσκυνήσεως, ὁ κατὰ λατρείαν, ἣν προσάγομεν μόνῳ τῷ φύσει προσκυνητῷ θεῷ, καὶ οὗτος, κατὰ διαφόρους τρόπους. πρῶτον μὲν, κατὰ τὸν τῆς δουλείας. προσκυνοῦσι γὰρ αὐτῷ πάντα τὰ κτίσματα, ὡς δοῦλοι δεσπότῃ, ὅτι τὰ σύμπαντα γάρ φησι δοῦλα σά. καὶ οἱ μὲν, ἑκουσίως. οἱ δὲ, ἀκουσίως. οἱ μὲν, γνώσει ἑκουσίως προσκυνοῦσιν, ὅσοι εὐσεβεῖς. οἱ δὲ, ἐπιγινώσκοντες καὶ μὴ θέλοντες, ἀκουσίως προσκυνοῦσιν, ὡς οἱ δαίμονες. ἄλλοι μὴ εἰδότες τὸν φύσει θεὸν, προσκυνοῦσιν ἀκουσίως ὃν ἀγνοοῦσιν. Δεύτερος τρόπος, ὁ κατὰ θαῦμα καὶ πόθον, καθ᾽ ὃν προσκυνοῦμεν τῷ θεῷ διὰ τὴν φυσικὴν δόξαν αὐτοῦ, μόνος γάρ ἐστι δεδοξασμένος, οὐκ ἔκ τινος ἔχων τὴν δόξαν, ἀλλ᾽ αὐτὸς ὢν πάσης δόξης αἴτιος, καὶ παντὸς ἀγαθοῦ. φῶς ἀκατάληπτον. γλυκασμὸς ἀνείκαστος. κάλλος ἀμήχανον. ἀγαθότης ἄβυσσος. ὡ-

σία αἰεξιχνίαστος, ἀπειροδύναμος δύναμις. μόνος ἄξιος δι᾽ ἑαυτὸν θαυμάζεσθαι, προσκυνεῖσθαι τε καὶ δοξάζεσθαι καὶ ποθεῖσθαι. Τρίτος τρόπος, ὁ τῆς εὐχαριστίας, ὑπὲρ τῶν γεγονότων εἰς ἡμᾶς ἀγαθῶν. πάντα γὰρ τὰ ὄντα, χρεωστεῖ εὐχαριστεῖν τῷ θεῷ, καὶ προσφέρειν ἀένναον προσκύνησιν, ὅτι τε ἐξ αὐτοῦ ἔχει τὸ εἶναι τὰ πάντα, καὶ ἐν αὐτῷ συνίσταται, καὶ πᾶσι μεταδίδωσιν ἀφθόνως τῆς ἑαυτοῦ δωρεῶν, καὶ δίχα αἰτήσεως. καὶ θέλει πάντας σωθῆναι, καὶ μετέχειν τῆς ἑαυτοῦ ἀγαθότητος. καὶ μακροθυμεῖ ἐφ᾽ ἡμῖν ἁμαρτάνουσι. καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίοις καὶ ἀδίκοις. καὶ βρέχει ἐπὶ πονηροῖς καὶ ἀγαθοῖς. καὶ ὅτι ὁ υἱὸς τοῦ θεοῦ, δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς γέγονε, καὶ θείας κοινωνοὺς φύσεως ἐποίησεν ἡμᾶς, ὅτι ὅμοιοι αὐτῷ ἐσόμεθα, ὥς φησιν Ιωάννης ὁ θεολόγος ἐν τῇ καθολικῇ ἐπιστολῇ. Τέταρτος τρόπος, ὁ κατ᾽ ἔνδειαν καὶ ἐλπίδα εὐεργεσιῶν. καθ᾽ ἃς ἐπιγινώσκοντες ὡς οὐ δυνάμεθα ἐκτὸς αὐτοῦ ποιεῖν οὐδὲν, ἢ ἔχειν ἀγαθὸν, προσκυνοῦμεν, αἰτοῦντες παρ᾽ αὐτοῦ ἕκαστος οὗ αἰσθάνεται ἐνδεῶς ἔχειν, καὶ ὃ ποθεῖ, ῥυσθῆναί τε κακῶν, καὶ τυχεῖν ἀγαθῶν. Πέμπτος τρόπος, ὁ τῆς μετανοίας καὶ τῆς ἐξομολογήσεως, ἁμαρτάνον

τες γὰρ προσκυνοῦμεν καὶ προσπίπτομεν τῷ
θεῷ, δεόμενοι συγχωρηθῆναι τὰ πταίσμα
τα, ὡς δοῦλοι εὐγνώμονες. καὶ οὗτος ὁ τρό
πος, τρίτος ἐστίν. ἢ γὰρ κατὰ ἀγάπην λυπεῖ
ταί τις, ἢ ὡς μὴ ἀποτύχῃ τῆς τοῦ θεοῦ εὐερ
γεσιῶν, ἢ δεδιὼς τὰς κολάσεις. καὶ ἔστιν ὁ μὲν
πρῶτος, ἐξ εὐγνωμοσύνης καὶ πόθου αὐτοῦ
τοῦ θεοῦ, καὶ υἱικῆς διαθέσεως. ὁ δεύτερος,
μισθωτικῆς. ὁ δὲ τρίτος, δουλικῆς.

Πόσα τὰ προσκυνούμενα εὑρίσκομεν ἐν τῇ
γραφῇ, καὶ κατὰ πόσους τρόπους προσάγο
μεν προσκύνησιν κλίσμασι.

Πρῶτον μὲν, ἐφ' οἷς ἀναπέπαυται ὁ θεὸς,
ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος,
ὡς τῇ ἁγίᾳ θεοτόκῳ καὶ πᾶσι τοῖς ἁγίοις.
οὗτοι δέ εἰσιν οἱ κατὰ τὸ δυνατὸν ὁμοιωθέν
τες θεῷ, ἔκ τε τῆς ἑαυτῶν προαιρέσεως,
καὶ τῆς θεοῦ ἐνοικήσεως καὶ συνεργίας,
οἵτινες καὶ θεοὶ λέγονται ἀληθῶς, οὐ φύ
σει, ἀλλὰ θέσει, ὡς πῦρ λέγεται ὁ πεπυ-
ρακτωμένος σιδηρος, οὐ φύσει, ἀλλὰ θέσει
καὶ μεθέξει πυρός. φησὶ γάρ. ἅγιοι ἔσε- Λευϊ. ιθ
σθε, ὅτι ἐγὼ ἅγιός εἰμι. τοῦτο πρῶτον, ἡ προ
αίρεσις. εἶτα, παντὶ τῷ προαιρουμένῳ τὸ ἀ-
γαθὸν, ὁ θεὸς συνεργεῖ εἰς τὸ ἀγαθόν. εἶτα, Λευ. κς
ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ Β. κορ. ς

ναοὶ ἐσμὲν θεοῦ, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰ-
Ματ. ι. κεῖ ἐν ἡμῖν. εἶτα, ἔδωκεν αὐτοῖς ἐξουσίαν
κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν
αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μα-
λακίαν. καὶ, ὅσα ποιῶ, καὶ ὑμεῖς ποιήσετε, καὶ
μείζονα τούτων ποιήσετε. εἶτα, ζῶ ἐγὼ λέ-
γει κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω.
καὶ, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶ-
μεν. καὶ, ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.
ἐν μέσῳ δὲ, θεοὺς διακρινεῖ. ὥσπερ τοίνυν
ἀληθῶς εἰσὶ θεοὶ, οὐ φύσει, ἀλλ' ὡς τοῦ φύσει
θεοῦ μέτοχοι, οὕτως εἰσὶ προσκυνητοὶ, οὐχὶ
φύσει, ἀλλ' ὡς τὸν φύσει προσκυνητὸν ἐν ἑαυ-
τοῖς ἔχοντες. ὥσπερ ὁ πεπυρακτωμένος σίδη-
ρος, οὐ φύσει ἐστὶν ἀπρόσιτος ἀφῇ, καὶ καυστικὸς,
ἀλλ' ὡς μετέχων τοῦ φύσει καυστικοῦ. προσκυ-
νοῦνται οὖν ὡς δεδοξασμένοι ὑπὸ θεοῦ, ὡς
ὑπὸ θεοῦ γινόμενοι τοῖς ὑπεναντίοις φοβε-
ροὶ, καὶ εὐεργέται τοῖς πίστει προσιοῦσιν, οὐχ ὡς
φύσει θεοὶ καὶ εὐεργέται, ἀλλ' ὡς θεράπου-
σι καὶ λειτουργοῖς θεοῦ, καὶ τὴν ἐξ ἀγάπης πρὸς
αὐτὸν εὐμοιρήκασι παῤῥησίαν. προσκυνοῦ-
μεν οὖν αὐτοῖς, ἐπειδὴ θεραπεύεται ὁ βασιλεὺς
θεωρῶν προσκυνούμενον τὸν ἠγαπημένον αὐτῷ
θεράποντα, οὐχ ὡς βασιλέα, ἀλλ' ὡς λει-
τουργὸν ὑπήκοον, καὶ εὔνοιον φίλον. καὶ λαμ-

βεβαιοῦσι τὰς αἰτήσεις οἱ προσιόντες πίστει, εἴτε τοῦ θεράποντος αἰτοῦντος ἐκεῖνο παρὰ τοῦ βασιλέως, εἴτε τοῦ βασιλέως ἀποδεχομένου τὴν τιμὴν καὶ τὴν πίστιν τοῦ ζητοῦντος παρὰ τοῦ θεράποντος αὐτοῦ, δι' αὐτὸν γὰρ ἤτησεν· οὕτω διὰ τῶν ἀποστόλων οἱ προσιόντες ἐτύγχανον τῶν ἰάσεων. οὕτως ἡ σκιὰ, καὶ τὰ σουδάρια, καὶ τὰ σιμικίνθια τῶν ἀποστόλων ἐπήγαζον τὰ ἰάματα. ὅσοι δὲ αὐταρτικῶς καὶ ἀποστατικῶς θέλουσι προσκυνεῖσθαι ὡς θεοὶ, οὗτοι εἰσὶν ἀπροσκύνητοι, καὶ τοῦ αἰωνίου πυρὸς ἄξιοι. καὶ ὅσοι καταφρονητικῶς, ὑπερηφάνῳ φρονήματι μὴ προσκυνοῦσι τοῖς θεοῦ θεράπουσιν, ὡς ἀλαζόνες καὶ ὑπερήφανοι, ὡς εἰς θεὸν ἀσεβοῦντες καταδικάζονται. καὶ μαρτυροῦσιν οἱ παῖδες, οἱ Ἐλισσαίου καταφρονητικῶς καταβοήσαντες, καὶ βορὰ τοῖς ἄρκτοις γενόμενοι. Δεύτερος τρόπος, καθ' ὃν προσκυνοῦμεν κτίσματα, δι' ὧν καὶ ἐν οἷς ἐνήργησεν ὁ θεὸς τὴν σωτηρίαν ἡμῶν, εἴτε πρὸ τῆς τοῦ κυρίου παρουσίας, εἴτε μετὰ τὴν ἔνσαρκον αὐτοῦ οἰκονομίαν, ὡς τὸ σιναῖον ὄρος, καὶ τὴν Ναζαρέτ. τὴν φάτνην τὴν ἐν Βηθλεέμ, καὶ τὸ σπήλαιον. τὸν Γολγοθᾶν τὸν ἅγιον. τοῦ σταυροῦ τὸ ξύλον.

τοῦ ἥλου. τὸν σπόγγον. τὸν κάλαμον. τὴν λόγχην τὴν ἱερὰν καὶ σωτήριον. τὴν αἰσθῆτα. τὸν χιτῶνα. τὰς σινδόνας. τὰ σπάργανα. τὸν τάφον τὸν ἅγιον, τὴν πηγὴν τῆς ἡμῶν ἀναστάσεως. τὸν λίθον τοῦ μνήματος. τὴν σιών, τὸ ὄρος τὸ ἅγιον. τὸ τῶν ἐλαιῶν αὖθις ὄρος. τὴν προβατικήν. καὶ γεθσημανῆς τὸ ὄλβιον τέμενος. ταῦτα καὶ τὰ τοιαῦτα, σέβω καὶ προσκυνῶ, καὶ πάντα ναὸν θεοῦ ἅγιον, καὶ πᾶν ἐφ' ᾧ θεὸς ὀνομάζεται, οὐ διὰ τὴν αὐτῶν φύσιν, ἀλλ' ὅτι θείας ἐνεργείας εἰσὶ δοχεῖα, καὶ δι' αὐτῶν καὶ ἐν αὐτοῖς ηὐδόκησεν ὁ θεὸς, τὴν σωτηρίαν ἡμῶν κατεργάσασθαι. καὶ ἀγγέλους γὰρ, καὶ ἀνθρώπους, καὶ πᾶσαν ὕλην τῆς θείας ἐνεργείας μέτοχον, καὶ διακονησαμένην τὴν σωτηρίαν μου, σέβω καὶ προσκυνῶ διὰ τὴν θείαν ἐνέργειαν. οὐ προσκυνῶ ἰουδαίοις, οὐ γὰρ θείας εἰσὶν ἐνεργείας μέτοχοι, οὐδὲ σκοπῷ τῆς ἐμῆς σωτηρίας, τὸν κύριον τῆς δόξης τὸν θεόν μου ἐσταύρωσαν, φθόνῳ δὲ μᾶλλον καὶ μίσει πρὸς τὸν θεὸν καὶ εὐεργέτην

ψαλ. κε

βαλλόμενοι. κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου φησὶν ὁ Δαβίδ, καὶ τόπον σκηνώματος δόξης σου. καὶ, προσκυνήσατε εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. καὶ, προσκυνεῖ

τι εἰς ὄρος ἅγιον αὐτοῦ. ὄρος ἅγιον ἔμψυχον
θεοῦ, ἡ ἁγία θεοτόκος. ὄρη θεοῦ λογικὰ, οἱ
ἀπόστολοι. τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, ψαλ.
καὶ οἱ βουνοὶ, ὡς ἀρνία προβάτων. Τρίτος ριγ'.
τρόπος, καθ' ὃν προσκυνοῦμεν τὰ τῷ θεῷ ἀνα
κείμενα, τὰ ἱερὰ φημὶ εὐαγγέλια, καὶ τὰς
λοιπὰς βίβλους, ἐγράφησαν γὰρ πρὸς νουθε- Ῥωμ. ιε'
σίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήν α'. κορ. ι'
τησεν, δίσκοι τε καὶ ποτήρια, θυμιατὶ, λυ
χνίαι, καὶ τράπεζαι. δῆλον γὰρ, ὡς πάντα
ταῦτα σεβάσμια. Ὅρα γὰρ, ὅτι Βαλτάσαρ Δαν. ε'.
ἐποίησεν ὑπηρετηθῆναι τὸν λαὸν τοῖς σκεύε
σιν τοῖς ἰσραηλικοῖς, πῶς καθεῖλεν ὁ θεὸς τὴν
βασιλείαν αὐτοῦ. Τέταρτος τρόπος, καθ' ὃν
προσκυνοῦνται αἱ εἰκόνες αἱ ὀφθεῖσαι τοῖς
προφήταις, ἐν εἰκονικῇ γὰρ ὁράσει εἶδον
θεὸν, καὶ αἱ τῶν ἐσομένων εἰκόνες, ὡς ἡ ῥάβ
δος Ἀαρὼν, εἰκονίζουσα τὸ τῆς παρθένου μυ-
στήριον, καὶ ἡ στάμνος, καὶ ἡ τράπεζα. καὶ Ἰα
κὼβ δὲ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβ
δου, τύπος δὲ ἦν τοῦ σωτῆρος. εἰσὶ δὲ τῶν
γεγονότων εἰκόνες εἰς μνημόσυνον, αὐτὴ
γὰρ ἡ σκηνὴ, εἰκὼν ἦν παγκόσμιος. Ὅρα γάρ
φησι τῷ Μωϋσῇ, τὸν τύπον τὸν δειχθέντα σοι
ἐν τῷ ὄρει, καὶ τὰ χερουβὶμ τὰ χρυσᾶ, ἔργον
χωνευτόν. καὶ τὰ χερουβὶμ ἐν τῷ καταπε-

τάσματι, ὅρ᾽ ὃν ὑφαντόν. οὕτω προσκυνοῦμεν τὸν τύπον τοῦ σταυροῦ τὸν τίμιον, τοῦτε σωματικοῦ χαρακτῆρος τοῦ θεοῦ μου τὸ ὁμοίωμα, καὶ τῆς αὐτὸν κατὰ σάρκα τεκούσης, καὶ τῶν αὐτοῦ θεραπόντων. Πέμπτος τρόπος, καθ᾽ ὃν προσκυνοῦμεν ἀλλήλοις, ὡς μοῖρα καὶ θεοῦ ἔχουσι, καὶ κατ᾽ εἰκόνα θεοῦ γεγενημένοις, ἀλλήλοις τε ταπεινούμενοι, καὶ νόμον πληροῦντες ἀγάπης. Ἕκτος τρόπος, τῶν ἐν ἀρχαῖς καὶ ἐξουσίαις ὄντων, ἀπόδοτε γάρ φησι πᾶσι τὰς ὀφειλάς, τῷ τὴν τιμὴν, τὴν τιμήν. ὡς Ἰακὼβ, τῷ τε Ἡσαῦ ὡς πρεσβυτέρῳ ἀδελφῷ, καὶ Φαραὼ ἀπὸ θεοῦ χειροτονηθέντι ἄρχοντι, προσεκύνησεν. Ἕβδομος τρόπος, καθ᾽ ὃν τοῖς δεσπόταις οἱ δοῦλοι καὶ τοῖς εὐεργέταις, καὶ ὧν ἂν δέοιντο οἱ δεόμενοι, ὡς Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμὼρ, ὅτε τὸ διπλοῦν ὠνήσατο σπήλαιον. καὶ ἁπλῶς εἰπεῖν, φόβου καὶ πόθου καὶ τιμῆς ἐστὶν ἡ προσκύνησις σύμβολον, ἀπεπτωσιώσ τε καὶ ταπεινώσεως. ἀλλ᾽ οὐδενὶ δεῖ προσκυνεῖν ὡς θεῷ εἰ μὴ μόνῳ τῷ φύσει θεῷ, πᾶσι δὲ ὀφειλὴν ἀπονέμειν διὰ τὸν κύριον. Ὁρᾶτε, πόση ἰσχὺς, καὶ ποία θεία ἐνέργεια τοῖς πίστει καὶ καθαρῷ συνειδότι προσιοῦσι ταῖς τῶν ἁγίων εἰκόσι, δίδοται; διὸ ἀδελφοί, στῶμεν ἐν τῇ

πέτρᾳ τῆς πίστεως, καὶ τῇ παραδόσει τῆς ἐκκλησίας, μὴ μεταίροντες ὅρια, ἃ ἔθεντο οἱ ἅγιοι πατέρες ἡμῶν. μὴ διδόντες τόπον τοῖς βουλομένοις καινοτομεῖν, καὶ καταλύειν τὴν οἰκοδομὴν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. εἰ γὰρ δοθῇ ἄδεια παντὶ βουλομένῳ, κατὰ μικρὸν ὅλον τὸ σῶμα τῆς ἐκκλησίας καταλυθήσεται. μὴ ἀδελφοί. μὴ τέκνα φιλόχριστα τῆς ἐκκλησίας. μὴ καταισχύνητε τὴν μητέρα ὑμῶν, μὴ καθέλετε τὸν κόσμον αὐτῆς. δέξασθε αὐτὴν δι' ἐμοῦ πρεσβεύουσαν. μάθετε τί φησι περὶ αὐτῆς ὁ θεός. ὅλη εἶ καλὴ ἡ πλησίον μου, καὶ οὐκ ἔστιν ἐν σοὶ μῶμος. προσκυνήσωμεν καὶ λατρεύσωμεν μόνῳ τῷ κτίστῃ καὶ δημιουργῷ, ὡς φύσει προσκυνητῷ θεῷ. προσκυνήσωμεν καὶ τῇ ἁγίᾳ θεοτόκῳ, οὐχ ὡς θεῷ, ἀλλ' ὡς μητρὶ θεοῦ κατὰ σάρκα. ἔτι προσκυνήσωμεν καὶ τοῖς ἁγίοις, ὡς ἐκλεκτοῖς φίλοις θεοῦ, καὶ τὴν πρὸς αὐτὸν κεκτημένοις παῤῥησίαν. εἰ γὰρ βασιλεῦσι φθαρτοῖς πολλάκις καὶ ἀσεβέσι καὶ ἁμαρτωλοῖς, καὶ τοῖς ὑπ' αὐτῶν χειροτονουμένοις ἄρχουσι, καὶ τοῖς τούτων λαβράτοις προσκυνοῦσιν ἄνθρωποι, κατὰ τὸ θεῖον τοῦ ἀποστόλου.

λόγιον, ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσε-
σθε. καὶ, ἀπόδοτε πᾶσι τὰς ὀφειλάς, τῷ τὴν
τιμὴν, τὴν τιμήν. τῷ τὸν φόβον, τὸν φόβον.
Καὶ, ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι, ὥς φη-
σιν ὁ κύριος, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. πό-
σῳ μᾶλλον ἐχρῆν προσκυνεῖν τῷ βασιλεῖ τῶν
βασιλευόντων, ὡς μόνῳ φύσει δεσπόζοντι, καὶ
τοῖς αὐτοῦ δούλοις καὶ φίλοις τοῖς βασιλεύ-
ουσι τῶν παθῶν, καὶ καταστεθεῖσιν ἄρχου-
σι πάσης τῆς γῆς; καταστήσεις γὰρ αὐτοὺς φη-
ψαλ. μδ. σὶν ὁ Δαβίδ, ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
κατὰ δαιμόνων καὶ νόσων ἐξουσίαν λαβοῦ-
σι, καὶ συμβασιλεύουσι χριστῷ βασιλείαν
ἄφθαρτον καὶ ἀκατάλυτον, ὧν ἡ σκιὰ μόνη
ἀπήλαυνε νόσους καὶ δαίμονας. μὴ οὖν σκιᾶς
ἀσθενεστέραν καὶ ἀτιμοτέραν λογισώμεθα
τὴν εἰκόνα, σκιογραφεῖ γὰρ ἀληθῶς τὸ πρω-
τότυπον. Ἀδελφοί, ὁ χριστιανὸς, πίστις ἐστίν.
ὁ οὖν πίστει προσερχόμενος, κερδαίνει πολλά.
ὁ δὲ διακρινόμενος, ἔοικε κλύδωνι θαλάσ-
σης, ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ, ὅς οὐ μὴ λή-
ψεται οὐδέν. πάντες γὰρ οἱ ἅγιοι διὰ πί-
στεως εὐηρέστησαν τῷ θεῷ. δεξώμεθα οὖν τὴν
παράδοσιν τῆς ἐκκλησίας ἐν εὐθύτητι καρ-
δίας, καὶ μὴ ἐν πολλοῖς λογισμοῖς. ὁ θεὸς
γὰρ ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, αὐτοὶ δὲ

ἐξήτησαν λογισμοὺς πολλούς. μὴ καταδεξώμεθα νέαν πίστιν μαθεῖν, ὡς καταγνωσμένης τῆς τῶν ἁγίων πατέρων παραδόσεως. φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. προσκυνοῦμεν οὖν ταῖς εἰκόσιν, οὐ τῇ ὕλῃ προσφέροντες τὴν προσκύνησιν, ἀλλὰ δι' αὐτῶν τοῖς ἐν αὐταῖς εἰκονιζομένοις. ἡ γὰρ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ πρωτότυπον διαβαίνει, καθὼς φησὶν ὁ θεῖος Βασίλειος. ὑμᾶς δὲ, ὦ ἱερώτατον τοῦ χριστοῦ ποίμνιον, ὁ χριστώνυμος λαὸς, τὸ ἔθνος τὸ ἅγιον, τὸ σῶμα τῆς ἐκκλησίας, ἐμπλήσαι χριστὸς τῆς χαρᾶς τῆς αὐτοῦ ἀναστάσεως, καὶ καταξιώσαι ἑπομένους τοῖς ἴχνεσι τῶν ἁγίων, τῶν ποιμένων τε καὶ διδασκάλων τῆς ἐκκλησίας, προαγομένους τυχεῖν τῆς δόξης αὐτοῦ ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν τῇ αὐτοῦ χάριτι, αἰωνίως αὐτὸν δοξάζοντας σὺν τῷ ἀνάρχῳ πατρὶ, ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰπόντες περὶ τῆς διαφορᾶς τῶν εἰδώλων καὶ τῶν εἰκόνων, καὶ διδάξαντες τὸν ὅρον τῶν εἰκόνων, ὥρα δὴ ἐπενεγκεῖν καὶ τὰς χρήσεις καθάπερ ὑπεσχόμεθα.

Τοῦ ἁγίου Διονυσίου ἐπισκόπου Ἀθηνῶν, ἐκ τῆς πρὸς Ἰωάννην τὸν ἀπόστολον καὶ θεολόγον ἐπιστολῆς.

Ἀληθῶς ἐμφανεῖς εἰκόνες εἰσὶ, τὰ ὁρατὰ τῶν ἀοράτων.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἐκκλησιαστικῆς ἱεραρχίας λόγου.

Ἀλλ' αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τε εἰσὶ, καὶ νοητὴ καὶ ὑπερκόσμιος ἐστὶν ἡ κατὰ ταύτας ἱεραρχία. τὴν καθ' ἡμᾶς δὲ ὁρῶμεν ἀναλόγως ἡμῖν αὐτοῖς, τῇ τῶν αἰσθητῶν συμβόλων ποικιλίᾳ πληθυνομένην, ὑφ' ὧν ἱεραρχικῶς ἐπὶ τὴν ἑνοειδῆ θέωσιν ἐν συμμετρίᾳ τῇ καθ' ἡμᾶς ἀναγόμεθα, θεόν τε καὶ θείαν ἀρετήν, αἱ μὲν ὡς νόες νοοῦσι κατὰ τὸ αὐταῖς θεμιτόν, ἡμεῖς δὲ αἰσθηταῖς εἰκόσιν ἐπὶ τὰς θείας ὡς δυνατὸν ἀναγόμεθα θεωρίας. Σχόλιον.

Εἰ τοίνυν ἀναλόγως ἡμῖν αὐτοῖς, αἰσθηταῖς εἰκόσιν ἐπὶ τὴν θείαν καὶ ἄϋλον ἀναγόμεθα θεωρίαν, τί ἀπρεπὲς τὸν σχήματι καὶ μορφῇ καὶ φύσει ὁραθέντα ὡς ἄνθρωπον φιλανθρώπως δι' ἡμᾶς, εἰκονίζειν ἀναλόγως ἡμῖν αὐτοῖς;

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν μακάριον Βαρλαὰμ τὸν μάρτυρα λόγου, οὗ ἡ ἀρχή, πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι, καὶ πρὸς τῷ τέλει τοῦ αὐτοῦ λόγου.

Ανάστητέ μοι νῦν ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα, ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα, τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀγωνισμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ. χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον ἡττώμενος νίκῃ. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην. ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες, καὶ νῦν ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι. φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης χριστός.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας λόγου.

Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα, καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι

διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες, καὶ πολλοὺς ἐπήγειραν πρὸς ἀνδρείαν ἑκάτεροι. ἃ γὰρ ὁ λόγος διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Ἀμφιλόχιον λ' κεφαλαίων περὶ τοῦ ἁγίου πνεύματος, ἀρ[illegible]κη-σις ὀκτωκαιδεκάτη.

Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών, καὶ οὐ δύο βασιλεῖς, οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται. ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία, μία καὶ οὐ πολλαί, διότι ἡ τῆς εἰκόνος τιμὴ, ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκών, ἐκεῖ φυσικῶς ὁ υἱός. ὥσπερ οὖν ὁ μὴ τιμῶν τὸν υἱόν, καθὼς
Ἰωάν. ε'. φησιν ὁ κύριος, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν, οὕτω καὶ ὁ μὴ τιμῶν τὴν εἰκόνα, οὐδὲ τὸν εἰκονιζόμενον τιμᾷ. ἀλλ' ἴσως ἐρεῖς, τιμᾶν τὴν εἰκόνα τοῦ χριστοῦ ἀνάγκη, οὐχὶ δὲ καὶ τῶν ἁγίων. ὢ τῆς ἀφροσύνης.
Ματ. ι'. Ἄκουσον τοῦ κυρίου λέγοντος τοῖς μαθηταῖς. ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. ὥστε ὁ μὴ τιμῶν τοὺς ἁγίους, οὐδὲ αὐτὸν τιμᾷ τὸν κύριον.

Τοῦ ἁγίου

Τοῦ ἁγίου Γρηγορίου τοῦ νύσσης, ἀπὸ λόγου ἐκτεθέντος ἐν κωνσταντινουπόλει, περὶ θεότητος υἱοῦ καὶ πνεύματος, καὶ εἰς τὸν Ἀβραάμ, λόγου μ δ΄. οὗ ἡ ἀρχή. Οἷόν τι πάσχουσι πρὸς τὰ εὐανθεῖς τῶν λειμώνων οἱ τούτων φιλοθεάμονες. Καὶ μετὰ βραχέα.

Ἐντεῦθεν δεσμοῖς πρότερον διαλαμβάνει ὁ πατὴρ τὸν παῖδα. εἶδον πολλάκις ἐπὶ γραφῆς, εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ᾽ ὄψιν ἀγούσης τὴν ἱστορίαν. πρόκειται Ἰσαὰκ παρ᾽ αὐτῷ τῷ θυσιαστηρίῳ, ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιηγμένας ἔχων εἰς τοὐπίσω τὰς χεῖρας. ὁ δὲ, ἐπιβεβηκὼς κατόπιν τῷ ποδὶ τῆς ἀγκύλης, καὶ τῇ ἀριστερᾷ τὴν κόμην τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ, ἐλεεινῶς πρὸς αὐτὸν ἀναβλέποντι, καὶ τὴν δεξιὰν καθωπλισμένος τῷ ξίφει, πρὸς τὴν σφαγὴν κατευθύνει, καὶ ἅπτεται ἤδη τοῦ σώματος ἡ τοῦ ξίφους ἀκμή, καὶ τότε αὐτῷ γίνεται φωνὴ θεόθεν, τὸ ἔργον κωλύουσα.

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τῆς ἑρμηνείας τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Καὶ πῶς εἰκὼν τοῦ δευτέρου τὸ πρῶτον, ὁ Μελχισεδὲκ τοῦ χριστοῦ; ὥσπερ ἄν τις εἴποι

σκιὰ τῆς γραφῆς τῆς ἐν χρώμασι, τὸ πρὸ
ταύτης σκίασμα τοῦ γραφέως. διχῶς γὰρ
ὁ νόμος καλεῖται σκιά, ἡ δὲ χάρις ἀλήθεια,
πράγματα δὲ τὰ μέλλοντα. ὥστε ὁ μὲν
νόμος καὶ ὁ Μελχισεδὲκ, προσκίασμα τῆς
ἐν χρώμασι γραφῆς. ἡ δὲ χάρις, ἡ ἀλήθεια.
ἡ ἐν χρώμασι γραφὴ, τὰ πράγματα τοῦ
μέλλοντος αἰῶνος. ὡς εἶναι τὴν παλαιὰν,
τύπου τύπον. καὶ τὴν νέαν, τῶν πραγμά-
των τύπον.

Σευηριανοῦ Γαβάλων, ἐκ τοῦ λόγου
τοῦ εἰς τὰ ἐγκαίνια τοῦ τιμίου
καὶ ζωοποιοῦ σταυροῦ.

Πῶς οὖν ἡ εἰκὼν τοῦ ἐπικαταράτου, ἤνεγ-
κε τῷ λαῷ ἐν συμφορᾷ χειμαζομένῳ σωτη-
ρίαν; ἆρα οὖν οὐκ ἦν ἀξιοπιστότερον εἰπεῖν,
ἐάν τις ὑμῶν δηχθῇ, βλέψει εἰς τὸν οὐρανὸν
ἄνω πρὸς τὸν θεὸν καὶ σωθήσεται, ἢ εἰς τὴν
σκηνὴν τοῦ θεοῦ; ἀλλὰ ταῦτα παριδὼν, μό-
νον τὴν εἰκόνα τοῦ σταυροῦ ἔπηξε. διατί οὖν
ταῦτα ἐποίει Μωσῆς, ὁ εἰπὼν τῷ λαῷ οὐ
ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ χωνευτὸν,
οὐδὲ πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ
ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν,
ὑποκάτω τῆς γῆς; ἀλλὰ τί ταῦτα πρὸς
ἀγνώμονα φθέγγομαι λαόν; εἰπὲ ὦ πιστό-

ταῦτα θεοῦ θεράπον, ὃ ἀπαγορεύεις, ποιεῖς; ὃ αἰσχρὸν ἔπεις, κατασκευάζεις; ὁ λέγων, οὐ ποιήσεις γλυπτὸν, ὁ τὸν χωνευθέντα βοῦν καθελέσας, σὺ ὄφιν χαλκουργεῖς; καὶ τοῦτο, οὐ λάθρα, ἀλλὰ ἀναφανδὸν, καὶ πᾶσι γνωστόν; ἀλλ' ἐκεῖνα φησὶν ὁ νομοθέτης, ἵνα ἐκκόψω τὰς ὕλας τῆς ἀσεβείας, καὶ τὸν λαὸν ἀπαγάγω πάσης ἀποστασίας καὶ εἰδωλολατρείας, νυνὶ δὲ χωνεύω τὸν ὄφιν, χρησίμως εἰς προτύπωσιν τῆς ἀληθείας. καὶ καθάπερ σκηνὴν ἔπηξα, καὶ τὰ ἐν αὐτῇ πάντα, καὶ χερουβὶμ, ὁμοίωμα τῶν ἀοράτων διεπέτασα εἰς τὰ ἅγια, ὡς τύπον καὶ σκιὰν τῶν μελλόντων, οὕτω καὶ ὄφιν ἐστήλωσα εἰς σωτηρίαν τῷ λαῷ, ἵνα διὰ τῆς πείρας τούτων, προγυμνάσω τοῦ σημείου τοῦ σταυροῦ τὴν εἰκόνα, καὶ τὸν ἐν αὐτῷ σωτῆρα καὶ λυτρωτήν. καὶ ὅτι ἀψευδέστατος ὁ λόγος ἀγαπητὲ, ἄκουε τοῦ κυρίου, τὸν λόγον τοῦτον βεβαιοῦντος καὶ λέγοντος, καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Σχόλιον.

Ὅτι δὲ οὐ καινὸν ἐφεύρεμα τὸ τῶν εἰκόνων, ἀλλ' ἀρχαῖον, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις

παράστασιν ἐγνωσμένον καὶ εἰθισμένον ὑπῆρχε, γέγραπται ἐν τῷ βίῳ Βασιλείου τοῦ μακάρος, τῷ δὲ Ἑλλαδίου τοῦ αὐτοῦ μαθητοῦ, καὶ διαδόχου τῆς αὐτοῦ ἱεραρχίας, ὡς παρειστήκει ὁ ὅσιος Βασίλειος τῇ τῆς δεσποίνης ἡμῶν εἰκόνι, ἐν ᾗ καὶ ὁ χαρακτὴρ ἐγέγραπτο Μερκουρίου τοῦ ἀοιδίμου μάρτυρος. παρειστήκει δὲ, ἐξαιτῶν τὴν Ἰουλιανοῦ τοῦ ἀθεωτάτου καὶ ἀποστάτου τυράννου ἀναίρεσιν. ἐξ ἧς εἰκόνος, ἐμυήθη ταύτην τὴν ἀποκάλυψιν. ἑώρα γὰρ πρὸς βραχὺ ἀφανῆ τὸν μάρτυρα, μετ᾽ οὐ πολὺ δὲ, τὸ δόρυ ᾑμαγμένον κατέχοντα.

Ἐκ τοῦ βίου Ἰωάννου τοῦ χρυσοστόμου.

Ἠγάπα δὲ ὁ μακάριος Ἰωάννης τὰς ἐπιστολὰς τοῦ σοφωτάτου Παύλου ἄγαν. Καὶ μετ᾽ ὀλίγα. ἦν δὲ καὶ τὸ ἐκτύπωμα τοῦ ἀποστόλου Παύλου ἔχων ἐν εἰκόνι ἔνθα ἀνεπαύετο διὰ τὴν τοῦ σώματος ἀσθένειαν, βραχύ τι, ἦν γὰρ πολυάγρυπνος ὑπὲρ φύσιν. καὶ ἡνίκα διήρχετο τὰς ἐπιστολὰς αὐτοῦ, ἐνητένιζεν αὐτῇ, καὶ ὡς ἐπὶ ζῶντος αὐτοῦ, οὕτως προσεῖχεν αὐτῷ, μακαρίζων αὐτὸν, καὶ ὅλον αὐτοῦ τὸν λογισμὸν πρὸς αὐτὴν εἶχε, φανταζόμενος, καὶ διὰ τῆς θεωρίας αὐτῷ ὁμιλῶν. Καὶ μετ᾽ ὀλίγα. ὡς δὲ ἐπαύσατο

ὁ Πρόκλος λαλῶν, ἀτενίζας τῇ εἰκόνι τοῦ ἀποστόλου, καὶ διασκεψάμενος τὸν χαρακτῆρα αὐτοῦ ὅμοιον τοῦ ὀφθέντος αὐτῷ, βαλὼν μετάνοιαν τῷ Ἰωάννῃ, εἶπε, δακτυλοδεικτῶν τὴν εἰκόνα. συγχώρησόν μοι πάτερ, ὃν εἶδον λαλοῦντά σοι, ὅμοιός ἐστιν οὕτω, ὡς δὲ ὑπολαμβάνω, ὅτι καὶ αὐτός ἐστιν.

Ἐκ τῆς φιλοθέου ἱστορίας, Θεοδωρήτου ἐπισκόπου κύρου, εἰς τὸν βίον τοῦ ἁγίου Συμεῶνος τοῦ κιονίτου.

Περὶ γὰρ Ἰταλίας, περιττόν ἐστι καὶ λέγειν. φασὶ γὰρ οὕτως ἐν Ῥώμῃ τῇ μεγίστῃ πολυθρύλητον γενέσθαι τὸν ἄνδρα, ὡς ἐν ἅπασι τοῖς τῶν ἐργαστηρίων προπυλαίοις, εἰκόνας αὐτῷ βραχείας ἀναστῆσαι, φυλακήν τινα σφίσιν αὐτοῖς καὶ ἀσφάλειαν ἐντεῦθεν πορίζοντας.

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς εἰς τὸν Ἠσαΐαν ἑρμηνείας.

Ἐπειδὴ εἶδε τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ, μὴ δυνάμενος εἰς θεὸν φθάσαι, εἰς τὴν εἰκόνα τοῦ θεοῦ τὴν ἑαυτοῦ πονηρίαν ἐκένωσεν. ὥσπερ εἴπερ ἄνθρωπος ὀργιζόμενος, τὴν εἰκόνα λιθάζοι, ἐπειδὴ τὸν βασιλέα οὐ δύναται, τὸ ξύλον τύπτων τὸ τὴν μίμησιν ἔχον, οὕτω καὶ πᾶς ὁ τιμῶν τὴν εἰκόνα, τὸ ἀρχέτυπον δηλονότι τιμᾷ.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἑρμηνείας.

Ὥσπερ γὰρ ὁ βασιλικὴν εἰκόνα καθυβρίσας, ὡς εἰς αὐτὸν ἐξαμαρτήσας τὸν βασιλέα κρίνεται, οὕτω δηλονότι ὑπόδικος ἐστὶ τῇ ἁμαρτίᾳ, ὁ τὴν κατ' εἰκόνα γεγενημένον καθυβρίζων.

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τῆς γραφείσης ἑκατὸν κεφαλαίων πρὸς Ἀντίοχον τὸν ἄρχοντα κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

κεφαλαίου λη'. Ἀπόκρισις.

Οὐχ' ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν οἱ πιστοὶ, μὴ γένοιτο, ὥσπερ οἱ ἕλληνες, ἀλλὰ τὴν σχέσιν μόνον καὶ τὸν πόθον τῆς ἡμῶν ἀγάπης, πρὸς τὸν χαρακτῆρα τοῦ προσώπου τῆς εἰκόνος ἐμφανίζοντες. ὅθεν πολλάκις τοῦ χαρακτῆρος λεαινθέντος, ὡς ξύλον λοιπὸν ἀργὸν τὴν ποτὲ εἰκόνα κατακαίομεν. Ὥσπερ οὖν ὁ Ἰακὼβ μέλλων τελευτᾷν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσὴφ προσεκύνησεν, οὐ τὴν ῥάβδον τιμῶν, ἀλλὰ τὸν ταύτην κατέχοντα, οὕτως οἱ πιστοὶ, οὐ δι' ἕτερον τινὰ τρόπον τὰς εἰκόνας ἀσπαζόμεθα, ὥσπερ καὶ τὰ τέκνα ἡμῶν καὶ πατέρας πολλάκις καταφιλοῦντες, ἀλλ' ἵνα τὸν πόθον τῆς ἡμετέρας ψυχῆς ἐμφανίσωμεν. ὥσπερ καὶ ὁ Ἰουδαῖος, τὰς τοῦ νόμου ποτὲ πλάκας,

καὶ τὰ δύο χερουβὶμ τὰ χρυσᾶ καὶ γλυπτὰ προσκυνεῖ, οὐ τιμῶν τὴν τοῦ λίθου καὶ χρυσίου φύσιν, ἀλλὰ τὸν ταῦτα ἐπιτρέψαντα κύριον.

Τοῦ χρυσοστόμου εἰς τὸν τρίτον ψαλμὸν, εἰς Δαβὶδ καὶ Ἀβεσαλώμ.

Ἐπινίκιος μὲν ἀνδριάντας οἱ βασιλεῖς τοῖς στρατηγοῖς νικήσασιν ἀνατιθέασι, νικηφόροις δὲ πίνακας στήλας ἐπεγείρουσιν ἄρχοντες ἡνιόχοις καὶ ἀθληταῖς, καὶ τῷ ἐπιγράμματι ὡς στέμματι, κήρυκα τῆς νίκης τὴν ὕλην ἐργάζονται. ἄλλοι πάλιν ἐν βίβλοις καὶ γράμμασι τοὺς ἐπαίνους τοῖς νικηταῖς γράφουσι, τὴν αὐτῶν ἐν τῷ ἐπαίνῳ δύναμιν, ἰσχυρότερον τῶν ἐπαινουμένων δεῖξαι θέλοντες. καὶ λογογράφοι, καὶ ζωγράφοι, καὶ λιθογλύπται, καὶ δῆμοι, καὶ ἄρχοντες, καὶ πόλεις, καὶ χῶραι, τοὺς νικητὰς θαυμάζουσιν. οὐδεὶς δὲ φεύγοντος καὶ μὴ πολεμήσαντος εἰκόνας ἔγραψεν.

Τοῦ ἁγίου Κυρίλλου ἀλεξανδρείας, ἐκ τοῦ προσφωνητικοῦ πρὸς τὸν βασιλέα Θεοδόσιον.

Αἱ δὲ εἰκόνες, ὥσπερ τὰ ἀρχέτυπα. δεῖ γὰρ οὕτως αὐτὰς, καὶ οὐχ ἑτέρως ἔχειν.

Τοῦ αὐτοῦ ἐκ τῶν θησαυρῶν.

Αἱ γὰρ εἰκόνες ἀεὶ πρὸς τὰ ἀρχέτυπα τὴν ἐμφέρειαν ἔχουσιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ ποιήματος τοῦ, ὅτι διὰ πάσης τῆς Μωϋσέως γραφῆς, τὸ τοῦ χριστοῦ μυστήριον ἐνσημαίνεται. περὶ τοῦ Ἀβραὰμ καὶ τοῦ Μελχισεδὲκ, ς΄. κεφαλ.

Δέον μοι τὰς εἰκόνας γράφεσθαι πρὸς τὰ ἀρχέτυπα.

Τοῦ ἁγίου Γρηγορίου ναζιανζοῦ, ἐκ τοῦ περὶ υἱοῦ λόγου δευτέρου.

Αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται.

Τοῦ χρυσοστόμου, ἐκ τοῦ πρὸς κολασσαεῖς λόγου τρίτου.

Ἡ τοῦ ἀοράτου εἰκὼν, καὶ αὕτη ἀόρατος, ἐπεὶ οὐδ᾽ ἂν εἰκὼν εἴη, τὴν γὰρ εἰκόνα, καθὼς ἐστὶν εἰκὼν καὶ παρ᾽ ἡμῖν ἀπαράλλακτον δεῖ εἶναι, οἷον τὸν χαρακτῆρα τῆς ὁμοιώσεως.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν ἑρμηνείας, κεφαλ. ιζ΄.

Ὥσπερ ἐπὶ τῶν εἰκόνων, τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκὼν, οὐχὶ τὴν ἰσχύν. ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις; ὁ γὰρ τύπος, ἴσος.

Εὐσεβίου τοῦ Παμφίλου ἐκ τῆς πέμπτης βίβλου τῆς ἐν εὐαγγελίοις ἀποδείξεων, εἰς τὸ, ὤφθη ὁ θεὸς τῷ Ἀβραὰμ παρὰ τῇ δρυῒ τῇ Μαμβρῇ.

Ὅθεν εἰσέτι καὶ νῦν παρὰ τοῖς πλησιοχώροις, ὡς ἂν θεῖος ὁ τόπος, εἰς τιμὴν τῶν αὐτόθι τῷ Ἀβραὰμ ἐπιφανέντων θρησκεύεται, καὶ θεωρεῖταί γε εἰς δεῦρο διαμένουσα ἡ τερέβινθος, οἵ τε τῷ Ἀβραὰμ ἐπιξενωθέντες, ἐν τῇ γραφῇ ἀνακείμενοι, δύο μὲν ἑκατέρωθεν, μέσος δὲ ὁ κρείττων, ὑπερέχων τῇ τιμῇ. εἴη δ' ἂν ὁ δεδηλωμένος ἡμῖν κύριος, αὐτὸς ὁ ἡμέτερος σωτὴρ, ὃν καὶ οἱ ἀγνῶτες σέβουσι, τὰ θεῖα λόγια πιστούμενοι. οὗτος δὴ ἦν αὐτὸς, ἐξ ἐκείνου τὰ τῆς εὐσεβείας σπέρματα εἰς ἀνθρώπους καταβαλλόμενος, ἀνθρώπειον ὑποδὺς εἶδός τε καὶ σχῆμα, τῷ θεοφιλεῖ προπάτορι Ἀβραὰμ, ὅστις εἴη, ἑαυτὸν ἐξέφηνε, καὶ τὴν τοῦ πατρὸς αὐτῷ παρεδίδου γνῶσιν.

Ἐκ τῆς χρονογραφίας Ἰωάννου Ἀντιοχείας τοῦ καὶ Μαλάλα περὶ τῆς αἱμορροούσης, καὶ ἧς ἐποίησε τῷ σωτῆρι χριστῷ στήλης.

Ἀπότοτε καὶ ὁ βαπτιστὴς Ἰωάννης δῆλος ἐγένετο τοῖς ἀνθρώποις, καὶ ἀπέτεμεν αὐτὸν Ἡρώδης ὁ τοπάρχης εἰς τὸ βασίλειον τῆς τραχωνίτιδος χώρας, ἐν σεβαστῇ τῇ πόλει, πρὸ ὀκτὼ καλανδῶν ἰουνίων, ἐν ὑπατείᾳ Φλάκκωνος καὶ Ῥουφίνου. διὰ τοῦτο λυπούμενος ὁ Ἡρώδης ὁ βασιλεὺς ὁ Φιλίππου, ἀνῆλ

θεν ἀπὸ τῆς ἰουδαίας, καὶ προσῆλθεν αὐτῷ γυνή τις οὖσα, οἰκοῦσα τὴν αὐτὴν πανεάδα πόλιν, ὀνόματι Βερονίκη, βουλομένη ὡς ἰαθεῖσα ὑπὸ τοῦ Ἰησοῦ, στήλην αὐτῷ ἀναστῆσαι, καὶ μὴ τολμῶσα δίχα βασιλικῆς κελεύσεως τοῦτο ποιῆσαι, δέησιν δέδωκε τῷ βασιλεῖ Ἡρώδῃ, αἰτοῦσα, στήλην χρυσῆν τῷ σωτῆρι χριστῷ ἐν τῇ αὐτῆς πόλει στῆσαι. ἥτις δέησις, εἶχεν οὕτως. Σεβαστῷ Ἡρώδῃ τοπάρχῃ καὶ θεσμοθέτῃ ἰουδαίων τε καὶ ἑλλήνων, βασιλεῖ Τραχωνίτιδος, δέησις καὶ ἱκεσία τῆς Βερονίκης ἀξιωματικῆς, πόλεως πανεάδος. Δικαιοσύνη καὶ φιλανθρωπία καὶ τὰ λοιπὰ τῆς ἀρετῆς, περιστέφουσι τὴν ὑμετέραν κορυφήν. ὅθεν κἀγὼ τοῦτο εἰδυῖα, σὺν ἀγαθαῖς ταῖς ἐλπίσι πάντων τευξομένη σοὶ γράφω. ἥτις ἡ τοῦ παρόντος προοιμίου κρηπίς, προϊών σε ὁ λόγος διδάξει. Ἐκ παίδων ληφθεῖσα πάθη αἱμορροίας ὀχετῷ, εἰς ἰατροὺς ἀναλώσασά μου τὸν βίον καὶ τὸν πλοῦτον, ἴασιν οὐχ εὗρον. ἀκηκοῦα δὲ τοῦ θαυμαζομένου χριστοῦ τὰ ἰάματα, ὡς νεκροὺς ἐξανίστησι, πάλιν εἰς φῶς ἕλκων, καὶ δαίμονας ἐκ βροτῶν ἀπελαύνων, καὶ πάντας τοὺς ἐν νόσῳ μαραινομένους λόγῳ θεραπεύων, κἀγὼ πρὸς αὐτὸν ὡς πρὸς

θεὸν ἔδραμον. καὶ προσαγχικῆσα τῷ περιέχοντι αὐτὸν πλήθει, διιλιάσασα μὴ τὸν ἐκ τοῦ πάθους μολυσμὸν ἀποστρεφόμενος, ὀργισθῇ κατ' ἐμοῦ, καὶ πλείων μοι ἐπιλάθῃ ἡ πληγὴ τῆς νόσου, καθ' ἑαυτὴν ἐλογισάμην, ὅτι ἐὰν δυνηθείην ἅψασθαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. οὗ καὶ ἁψαμένη, καὶ στασθήσης μου τῆς πηγῆς τοῦ αἵματος, γίνονται παραχρῆμα ὑγιής. αὐτὸς δὲ μᾶλλον, ὡς προγνοὺς τῆς ἐμῆς καρδίας τὰ βουλεύματα, ἀνέκραξε. τίς μου ἥψατο; δύναμις ἀπ' ἐμοῦ ἐξῆλθεν. ἐγὼ δὲ ὠχριάσασα, καὶ στένουσα, τὴν νόσον θεραπευθεῖσαν ἀποστρέφειν ἐπ' ἐμὲ λογιζομένη, προσέπεσον αὐτῷ, τὴν γῆν τε πλήρωσα δακρύων, τὴν τόλμαν ἐξειποῦσα. αὐτὸς δὲ ὡς ἀγαθὸς, σπλαγχνισθεὶς ἐπ' ἐμοὶ, ἐπισφραγίζει μου τὴν ἴασιν, εἰρηκὼς, θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. οὕτω καὶ ὑμεῖς σεβαστὲ, τὴν δέησιν τῇ δεομένῃ ἀξίαν παράσχετε. Ὁ δὲ βασιλεὺς Ἡρώδης, ἀκηκοὼς ταῦτα διὰ τῆς δεήσεως, ἐξεπλάγη τὸ θαῦμα. καὶ φοβηθεὶς τὸ μυστήριον τῆς ἰάσεως, εἶπεν. ἡ εἰς σὲ γενομένη ἴασις ὦ γύναι, μείζονος στήλης ἐστὶν ἀξία. πορευθεῖσα τοίνυν, οἵαν βούλει ἀνάστησον αὐτῷ στήλην, δοξάζουσα τὸν ἰασάμενον. καὶ

εὐθέως αὐτὴ Βερνίκη, ἡ πρώην αἱμορροοῦσα, ἐν μέσῳ τῆς ἰδίας αὐτῆς πόλεως πανεάδος, ἀνέστησε τῷ κυρίῳ καὶ θεῷ στήλην χαλκῆν, ἐκ χαλκοῦ θορμηλάτου, μίξασα χρυσὸν καὶ ἄργυρον. ἥτις στήλη, μένει ἐν πανεάδι τῇ πόλει ἕως νῦν. οὐ πρὸ πολλοῦ χρόνου μετενεχθεῖσα ἀφ' οὗ ἵστατο, ἐν μέσῳ τῆς πόλεως εἰς ἅγιον τόπον, εἰς οἶκον εὐκτήριον. ὅπερ ὑπόμνημα, εὑρέθη ἐν τῇ αὐτῇ πόλει πανεάδι, παρά τινι, γενομένῳ ἀπὸ ἰουδαίων χριστιανῷ, ἐν ᾧ ὑπῆρχεν ὁ βίος τῶν βασιλευσάντων πάντων τῆς ἰουδαϊκῆς χώρας.

Ἐκ τῆς ἑβδόμης βίβλου τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσεβίου τοῦ Παμφίλου, περὶ τῆς αἱμορροούσης πανεάδος.

Ἐπειδὴ τῆς δὲ τῆς πόλεως ἐμνήσθημεν, οὐκ ἄξιον ἡγοῦμαι διήγησιν παρελθεῖν, καὶ τοῖς μεθ' ἡμᾶς μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμορροοῦσαν, ἣν ἐκ τῶν ἱερῶν εὐαγγελίων παρὰ τοῦ σωτῆρος ἡμῶν, τοῦ πάθους ἀπαλλαγὴν εὑρέσθαι μεμαθήκαμεν, ἐνθένδε ἐλέγετο ὁρμᾶσθαι, τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι, καὶ τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν, ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου,

πρὸς μὲν ταῖς πύλαις τοῦ αὐτῆς οἴκου, γυναικὸς ἐκτύπωμα χάλκεον ἐπὶ γόνυ κεκλιμένον, καὶ τεταμέναις ἐπὶ τοὔμπροσθεν ταῖς χερσὶν, ἱκετευούσῃ ἐοικός. οὗ ἄντικρυ, ἄλλο, τῆς αὐτῆς ὕλης, ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως βεβλημένον, καὶ τὴν χεῖρα αὐτῇ ἐκεῖ προτεῖνον. οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῆς στήλης ταύτης, ξένον τι βοτάνης εἶδος φύειν, ὡς μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιὸν, ἀλεξιφάρμακον πάντων τῶν νοσημάτων τυγχάνειν. τοῦτον δὲ τὸν ἀνδριάντα, εἰκόνα τοῦ κυρίου Ἰησοῦ φέρειν ἔλεγον. ἔμεινε δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημήσαντας τῇ πόλει. καὶ θαυμαστὸν οὐδὲν, τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν, τοιαῦτα πεποιηκέναι, ὁπότε καὶ τῶν ἀποστόλων αὐτῶν τὰς εἰκόνας, Πέτρου καὶ Παύλου, καὶ αὐτοῦ τοῦ σωτῆρος, διαχρωματιζομένας ἱστορήσαμεν, ὡς εἰκὸς τῶν παλαιῶν ἀπαραφυλάκτως, οἷα ἐθνικῆς συνηθείας οὔσης παρ' αὐτοῖς, τοῦτον τιμᾶν εἰωθότων τὸν τρόπον.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἱστορίας δεκάτου βιβλίου, εἰς τὸν βασιλέα Κωνσταντῖνον.

Εὖ μάλα τῆς ἐκ θεοῦ συνῃσθημένος βοη-

θείας, αὐτίκα τοῦ σωτηρίου τρόπαιον πάθους ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι προστάττει. καὶ δὴ τὸ σωτήριον τοῦ σταυροῦ σημεῖον ἐν τῇ δεξιᾷ κατέχοντα αὐτὸν, ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένῳ τόπῳ στήσαντας, αὐτὴν δὴ ταύτην ὑπογραφὴν ἐντάξαι, ῥήμασιν αὐτοῖς τῇ Ῥωμαίων ἐγκελεύεται φωνῇ. τούτῳ τῷ σωτηριώδει σημείῳ, τῷ ἀληθινῷ ἐλέγχῳ τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυράννου διασωθεῖσαν, ἠλευθέρωσα. ἔτι μὴν καὶ τὴν σύγκλητον, καὶ τὸν δῆμον Ῥωμαίων, τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ τῇ λαμπρότητι ἐλευθερώσας, ἀποκατέστησα.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Σωκράτους, βιβλίου πρώτου, κεφαλ. ιη'.
περὶ τοῦ αὐτοῦ βασιλέως.

Μετὰ ταῦτα δὲ ὁ βασιλεὺς Κωνσταντῖνος, ἐπιμελέστερος ὢν τὰ περὶ χριστιανισμοῦ, ἀπεστράφη τὰς ἑλληνικὰς θρησκείας, καὶ παύει μὲν τὰ μονομάχια, εἰκόνας δὲ τὰς ἰδίας ἐν τοῖς ναοῖς ἀπέθετο.

Στεφάνου βοστρηνοῦ κατὰ ἰουδαίων, κεφαλ. δ'.

Ἡμεῖς δὲ τὰς εἰκόνας τῶν ἁγίων, εἰς μνήμην τῶν ἁγίων ἐποιήσαμεν, οἷον Ἀβραὰμ, καὶ

Ἰσαάκ, καὶ Ἰακώβ, καὶ Μωϋσέος, καὶ Ἡλία, καὶ Ζαχαρίου, καὶ τῶν λοιπῶν προφητῶν, καὶ ἁγίων μαρτύρων, τῶν δι' αὐτὸν ἀναιρεθέντων, ἵνα πᾶς ὁ ὁρῶν αὐτῶν τὰς εἰκόνας, μνημονεύῃ αὐτῶν, καὶ δοξάζῃ τὸν δοξάσαντα αὐτούς.

Τοῦ αὐτοῦ.

Περὶ δὲ εἰκόνων θαῤῥοῦμεν, ὅτι πᾶν ἔργον γινόμενον ἐν ὀνόματι θεοῦ, καλὸν καὶ ἅγιόν ἐστι, περὶ δὲ εἰδώλων καὶ ἀγαλμάτων, ἄπαγε. κακὰ γὰρ καὶ ἀλλόκοτα καὶ αὐτὰ καὶ οἱ ποιοῦντες αὐτά. ἕτερον γάρ ἐστιν εἰκὼν ἁγίου προφήτου, καὶ ἕτερον, ἄγαλμα, ἢ ξόανον κρόνου καὶ ἀφροδίτης, ἡλίου τε καὶ σελήνης. ἐπεὶ δὲ ὁ ἄνθρωπος κατ' εἰκόνα θεοῦ γέγονε, προσκυνεῖται. ὁ δὲ ὄφις, ἐπειδὴ εἰκών ἐστι διαβόλου, ἀκάθαρτός ἐστι καὶ ἀπόβλητος. εἰ δὲ τὰ χειροποίητα ἀποβάλλῃ, εἰπὲ ὦ ἰουδαῖε, τί ἐστιν ἐπὶ γῆς ἀχειροποίητον, ὃ προσκυνεῖται; μὴ, ἡ κιβωτὸς τοῦ θεοῦ ἀχειροποίητος ἦν; τὸ θυσιαστήριον, καὶ τὸ ἱλαστήριον, καὶ τὰ χερουβὶμ, καὶ ἡ στάμνος ἡ χρυσῆ ἡ ἔχουσα τὸ μάννα, καὶ ἡ τράπεζα, καὶ ἡ σκηνὴ ἡ ἐσωτέρα, καὶ πάντα τὰ ἅγια ἁγίων ἐκλήθησαν ὑπὸ τοῦ θεοῦ; οὐκ ἦσαν τὰ χερουβὶμ χειροποίητα, εἰκόνες ἀγγέλων; τί λέγεις. εἰ εἴδωλα ἀποκαλεῖς αὐτὰ, τί λέγεις

τῷ Μωϋσῇ προσκυνήσαντι, καὶ τῷ Ἰσραήλ; καὶ ἡ μὲν προσκύνησις, τιμῆς ἐστὶ σύμβολον, καθὼς καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ προσκυνοῦμεν, τὸν μὲν θεὸν, κατὰ τὴν θεϊκὴν λατρείαν καὶ ἀξίαν προσκύνησιν δοξάζομεν, καὶ σέβομεν ὡς ποιητὴν καὶ χορηγὸν ἡμῶν. τοὺς δὲ ἀγγέλους καὶ δούλους τοῦ θεοῦ, κατὰ τιμὴν τοῦ θεοῦ, ὡς ποιήματα τοῦ θεοῦ καὶ δούλους αὐτοῦ, εἰκὼν γάρ ἐστιν, ὄνομα καὶ ὁμοίωσις τοῦ ἐν αὐτῇ γραφείσης. διὸ καὶ γράμμασι καὶ χαράγμασιν ἀεὶ μνημονεύομεν τῶν τοῦ κυρίου παθημάτων, καὶ τῶν ἁγίων προφητῶν, τῶν ἐν νόμῳ καὶ εὐαγγελίοις γεγραμμένων.

Τοῦ ἁγίου Γρηγορίου ναζιανζοῦ, ἐκ τοῦ λόγου τοῦ κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου.

Οὗ τὰ σύμβολα τῆς ἐπὶ τούτῳ πληγῆς, αἱ εἰκόνες φέρουσιν, ἔτι δημόσιαι προκείμεναι.

Τοῦ χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τοῦ δικαίου Ἰώβ.

Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ. καθάπερ ἐπὶ τῶν εἰκόνων, ἐπειδάν τινα γράφωμεν ἐν τῇ ἱστορικῇ γραφῇ, ὅστινα αἰέθηκε γράφομεν, οὕτω καὶ ἐνταῦθα, τὴν εἰκόνα τῆς ψυχῆς αὐτοῦ γράψας, ὁ γράψας τὸ βιβλίον, ὥσπερ ἐν χοινικίδι κάτωθεν ὑπογράφων, λέγει.

λέγει. ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐχ ἥμαρτεν Ἰώβ.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Κωνσταντίνου, βιβλίου τετάρτου.

Ὅση δὲ αὐτοῦ ἡ ψυχὴ, πίστεως ἐνθέου ἐστήρικτο δυνάμει, μάθοι δ' ἄν τις καὶ ἐκ τοῦδε, λογιζόμενος ὡς ἐν τοῖς χρυσοῖς νομίσμασιν, αὐτὸς τὴν αὐτοῦ εἰκόνα διεγράφετο, ὡς ἄνω βλέπειν δοκεῖν, ἀνατεταμένην πρὸς θεὸν, εὐχομένου τρόπον. τούτου μὲν οὖν τὰ ἐκτυπώματα, καθ' ὅλης τῆς Ῥωμαίων γῆς, ἐν αὐτοῖς δὲ τοῖς βασιλείοις κατά τινας πόλεις, ἐν ταῖς εἰς τὸ μετέωρον τῶν προπύλων ἀνακειμέναις εἰκόσιν, ἑστὼς ὄρθιος ἐγράφετο. ἄνω μὲν εἰς τὸν οὐρανὸν ἐμβλέπων, τὼ χεῖρε ἐκτεταμένω, εὐχομένου σχήματι. ὧδε μὲν οὖν αὐτὸς ἑαυτὸν ἐν ταῖς εἰκονογραφίαις εὐχόμενον ἱστόρει.

Τοῦ αὐτοῦ ἐκ τοῦ τρίτου βιβλίου.

Ὧδε μὲν οὖν ἡ βασιλέως ἐτελειοῦτο μήτηρ, ἀξία τε τιμῆς ἀλήστης, τῶν τε αὐτῆς ἕνεκα θεοφιλῶν πράξεων, τοῦ τε ἐξ αὐτῆς φύντος ὑπερφυοῦς καὶ παραδόξου φυτοῦ. ὃν πρὸς τοῖς ἅπασι, καὶ τῆς εἰς τὴν γεννησαμένην ὁσίας, μακαρίζειν ἄξιον. οὕτω μὲν αὐτὴν θεοσεβῆ καταστήσαντα, μὴ οὖσαν τὸ πρότε-

ρον, ὡς αὐτῷ δοκεῖν ἐκ πρώτης τοῦ κοινοῦ σωτῆρι μεμαθητεῦσθαι. οὕτω δὲ τῷ ἀξιώματι βασιλικῷ τετιμηκότα, ὡς ἐν ἅπασιν ἔθνεσι, καὶ παρ' αὐτοῖς τοῖς στρατιωτικοῖς τάγμασιν, αὐγοῦσταν βασιλίδα ἀναγορεύεσθαι, χρυσοῖς τε νομίσμασι καὶ τὴν αὐτῆς ἐκτυποῦσθαι εἰκόνα.

Τοῦ αὐτοῦ τετάρτου λόγου, κεφάλ. ξθ'.

Οἱ δὲ τὴν βασιλίδα πόλιν οἰκοῦντες, αὐτή τε σύγκλητος καὶ δῆμος Ῥωμαίων, ὡς τὴν βασιλέως ἐπέγνωσαν τελευτὴν, δεινὴν, καὶ πάσης συμφορᾶς ἐπέκεινα τῇ ἀκοῇ δεδεγμένοι, πένθος ἄσχετον ἐποιοῦντο. λουτρὰ δὲ ἀπεκλείοντο καὶ ἀγοραὶ, πάνδημοί τε θέαι, καὶ πάντα ὅσα ἐπὶ ῥαστώνῃ βίου τοῖς εὐθυμουμένοις πράττειν ἔθος ἦν. κατηφεῖς δὲ οἱ πάλαι τρυφηλοὶ, τὰς προόδους ἐποιοῦντο. ὁμοῦ τε οἱ πάντες, τὸν μακάριον ἀνευφήμουν, τὸν θεοφιλῆ, τὸν ὡς ἀληθῶς τῆς βασιλείας ἐπάξιον. καὶ οὐ ταῦτα βοαῖς ἐφώνουν μόνοις. εἰς ἔργα δὲ χωροῦντες, εἰκόνων ἀναθήμασιν, οἷά περ ζῶντα καὶ τεθνηκότα, αὐτὸν ἐτίμων. οὐρανοῦ μὲν σχῆμα διατυπώσαντες ἐν χρωμάτων γραφῇ, ὑπὲρ ἁψῖδα δὲ οὐρανῶν, ἐν αἰθερίῳ διατριβῇ διαναπαυόμενον αὐτὸν, τῇ γραφῇ παραδιδόντες.

Τοῦ αὐτοῦ. κεφαλ. ογ'.

Τούτῳ γοῦν ἐμφανῶς ὁ τρισμακάριος Πολυπλάσιος διὰ τῆς τῶν παίδων διαδοχῆς, ἀνθ' ἑνὸς ἐγένετο, ὡς εἰκόνων ἀναστάσει, παρὰ πᾶσιν ἔθνεσιν ἅμα τοῖς αὐτοῦ τιμᾶσθαι παισίν.

Θεοδωρήτου ἐπισκόπου κύρου καὶ Πολυχρονίου ἐκ τῆς εἰς τὸν Ιεζεκιὴλ ἑρμηνείας.

Καὶ ὥσπερ οἱ Ῥωμαῖοι τὰς βασιλικὰς εἰκόνας γράφοντες, τούς τε δορυφόρους παριστῶσι, καὶ τὰ ἔθνη ὑποτεταγμένα ποιοῦσι, τὸν ὅμοιον τρόπον κἀνταῦθα, ἐπειδὴ ὁ βασιλεὺς διὰ τῆς ὀπτασίας σχηματίζει τὸν θεὸν, ὡς ἐπὶ θρόνου ὀχούμενον, πάντων τῶν ἐπὶ γῆς δείκνυσι τὰς εἰκόνας, τῷ τε σχήματι τὸ πρέπον ἀποδίδωσι, κατὰ πάντων τῶν τοῦ θεοῦ διδάσκων τὴν δεσποτείαν. Τοῦ αὐτοῦ.

Καὶ σὺ υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον, καὶ θήσεις αὐτὴν πρὸ προσώπου σου, καὶ διαγράψεις ἐν αὐτῇ ὅλην τὴν Ἱερουσαλήμ, καὶ δώσεις ἐν αὐτῇ περιοχὴν, καὶ οἰκοδομήσεις ἐν αὐτῇ προμαχῶνας, καὶ περιβαλεῖς ἐπ' αὐτὴν χάρακα, καὶ δώσεις ἐπ' αὐτῇ παρεμβολὰς, καὶ τάξεις τὰς βελοστάσεις κύκλῳ. Ιεζ. δ'.

Ἑρμηνεία.

Εἰ σοὶ φοβερὸν νενόμισται τὸ ἐξ ἐναντίας τῷ

πλήθει διαλέγεσθαι, καὶ προλέγειν τῆς πόλεως τὴν πόρθησιν, καὶ τοῦ ναοῦ τὴν κατασκαφὴν, καὶ τὰ ἐκ τούτων συμβησόμενα δεινὰ, ἑτέρως τοῦτο μήνυσον, ὡς κἀκείνοις σωφρονίζειν, καὶ σὲ δεικνύναι τὴν ἐπιείκειαν. καὶ λαβών φησι πλίνθον, διάγραψον τὴν πόλιν, ὥσπερ γεγράφθω δὲ τῆς πόλεως ἡ προσηγορία, ὥστε γνωρίζεσθαι ταύτην οὖσαν τὴν Ιερουσαλήμ. ποιήσας δὲ τὴν πόλιν, περίστησον τῷ τῆς γραφῆς σχήματι χάρακα, ἵνα ᾖ τὸ στρατοπέδου πλῆθος. αἱ δὲ δυνάμεις, κατὰ τάξιν πολεμικὴν περιέτωσαν, τοῦτο γὰρ λέγει παρεμβολὰς, αἵτινες τὰ τάγματα στρατιωτικὰ παρεστῶτα, μὴ μόνον περιπεφραγμένα ὅπλοις, ἀλλὰ τὰ μηχανήματα ἐπιφερόμενα, οἷς καθαιρήσουσι τὰ τείχη ταῦτα. τὰ τείχη γὰρ ταῦτα, μηνύει τὰς βελοστάσεις. θαυμασιώτατα δὲ μόνον τὴν περὶ τὴν πόλιν περίστασιν τοῦ πλήθους μηνύει, ἵνα πρὸ τῆς δεινῶν τῷ φόβῳ καταπλήξας, ἀποστήσῃ αὐτῆς τὴν παρανομίαν.

Εκ τοῦ μαρτυρίου τοῦ ἁγίου Εὐσταθίου τοῦ καὶ Πλακίδα.

Εξελθόντος αὐτοῦ ἐν μιᾷ ἡμέρᾳ κατὰ τὸ σύνηθες ὡσεὶ τὰ ὄρη, θηρεῦσαι μετὰ τοῦ στρατοπέδου καὶ πάσης τῆς θεραπείας, ὤφθη αὐτῷ

ἀγέλη ἐλάφων βοσκομένη. καὶ διαστήσας κα
τὰ τὸ σύνηθες τὸν στρατὸν, ἐποιεῖτο τὴν κα
τ' αὐτῶν δίωξιν. παντὸς δὲ τοῦ στρατοῦ περὶ
τὴν σύλληψιν ἀσχολουμένου τῶν ἐλάφων, ὁ
ὑπερμεγεθέστατος πάσης τῆς ἀγέλης καὶ εὐει
δέστατος, ἀποσπασθεὶς τῆς ἀγέλης, ὥρμησε
κατὰ τοῦ δρυμοῦ ἐν τοῖς δασυτέροις τόποις
τῆς ὕλης, καὶ δυσβάτοις χωρίοις. ὃν θεασά
μενος ὁ Πλακίδας, καὶ ἐπιθυμήσας συλλα
βέσθαι αὐτὸν, καταλιπὼν πάντας, μετ' ὀ-
λίγων στρατιωτῶν κατεδίωκεν αὐτόν. ἀτονη
σάντων δὲ τῶν συνόντων, μόνος προσεκαρτέ
ρει τῇ διώξει. κατὰ πρόνοιαν δὲ θεοῦ, μήτε
τοῦ ἵππου αὐτοῦ ἀτονήσαντος, μήτε αὐτοῦ πρὸς
τὴν δυσχέρειαν τοῦ τόπου ἀποκνήσαντος, ἐπὶ πο
λὺ καταδιώκων, μακρὰν εὑρέθη τοῦ στρατο-
πέδου αὐτοῦ. ὁ δὲ ἔλαφος ἔφυγε, ἐκεῖνος
δὲ καταλαβὼν ἀκρώρειαν πέτρας, μηδενὸς
συνόντος αὐτῷ, ἔστη περισκοπῶν πάντοθεν,
καὶ ἐννοῶν ποίῳ τρόπῳ λάβηται τοῦ ἐλά-
φου. ἀλλ' ὁ πάνσοφος καὶ οἰκτίρμων θεὸς, ὁ
παντοίας ὁδοὺς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων
ἐπινοήσας, ἀντιθηρεύει τοῦτον ἐν τῇ θήρᾳ. οὐ
χ' ὡς Κορνήλιον διὰ Πέτρου, ἀλλ' ὡς Παῦλον
διώκοντα διὰ τῆς ἰδίας ἐπιφανείας. ἐπὶ
πολὺ δὲ ἑστῶτος τοῦ Πλακίδα, καὶ ἀτενί-

ζοντος μὲν εἰς τὸν ἔλαφον, θαυμάζοντος δὲ αὐτοῦ τὸ μέγεθος, καὶ ἀμηχανοῦντος περὶ τὴν σύλληψιν, δείκνυσι κύριος τεράστιόν τι τοιοῦτον, οὐκ ἀπεικὸς, οὐδὲ ὑπερβαῖνον τῆς αὐτοῦ δυνάμεως τὸ μέγεθος. ἀλλ' ὥσπερ ἐπὶ τοῦ Βαλαὰμ λόγον ἐνθεὶς τῇ ὄνῳ, ἤλεγξεν αὐτοῦ τὴν διάνοιαν, οὕτω καὶ ἐνταῦθα δείκνυσι τούτῳ. ἐπὶ μὲν τῶν κεράτων τοῦ ἐλάφου, τὸν τύπον τοῦ ἁγίου σταυροῦ, ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου λάμποντα, μέσον δὲ τῶν κεράτων, τὴν εἰκόνα τοῦ θεοφόρου σώματος, οὗ διὰ τὴν ἡμετέραν σωτηρίαν ἀναλαβεῖν κατεδέξατο. καὶ φωνὴν ἀνθρωπίνην ἐνθεὶς τῇ ἐλάφῳ, προσκαλεῖται τὸν Πλακίδαν, λέγων. ὦ πλακίδα, τί με διώκεις; ἰδοὺ ἕνεκεν σοῦ παρῆν, καὶ ἐν τῷ ζώῳ τούτῳ ὤφθην σοι. ἐγώ εἰμι Ἰησοῦς ὁ χριστὸς, ὃν ἀγνοῶν, σέβῃ. αἱ γὰρ εὐποιΐαι σου, ἃς σὺ ποιεῖς εἰς τοὺς δεομένους, ἐπέστησαν ἐνώπιόν μου, καὶ ἦλθον ἐμφανίσαι σοι ἐμαυτὸν διὰ τοῦ ἐλάφου τούτου, καὶ ἀντιζωγρῆσαί σε, καὶ συσχεῖν τοῖς δικτύοις τῆς φιλανθρωπίας μου. οὐ γάρ ἐστι δίκαιον τὸν ἐμοὶ προσφιλῆ διὰ τῶν ἀγαθῶν ἔργων, δουλεύειν δαίμοσιν ἀκαθάρτοις, καὶ εἰδώλοις νεκροῖς καὶ κωφοῖς. διὰ γὰρ τοῦτο ἦλθον ἐπὶ γῆς ἐν τῷ εἴδει τούτῳ, ᾧ νῦν ὁρᾷς,

σῶσαι ἄλλων τὸ τῶν ἀνθρώπων γένος.
Τοῦ ἁγίου Λεοντίου νεαπόλεως τῆς κυπρίων νήσου, πρὸς ἰουδαίους, ἐκ λόγου.
Φέρε δὴ λοιπὸν φέρε προθύμως, καὶ τὴν τῆς ἐκτυπώσεως τῶν σεπτῶν εἰκόνων ἀπολογίαν ποιησώμεθα, ὅπως ἐμφραχθῶσι στόματα ἀνόμων, λαλούντων ἄδικα, νομικὴ γὰρ αὕτη ἡ παράδοσις καὶ οὐχ ἡμετέρα. ἄκουσον γὰρ αὐτοῦ τοῦ θεοῦ λέγοντος πρὸς Μωϋσέα, εἰκόνας δύο χερουβὶμ γλυπτῶν καὶ χωνευτῶν κατασκευάσαι, σκιαζόντων τὸ ἱλαστήριον. Καὶ πάλιν. τὸν ναὸν ἔδειξεν ὁ θεὸς τῷ Ιεζεκιὴλ, γλυπτὰ πρόσωπα φησὶν εἶχε, λεόντων, καὶ φοινίκων, καὶ ἀνθρώπων, καὶ χερουβὶμ, ἀπὸ τοῦ ἐδάφους αὐτοῦ ἕως τοῦ φατνώματος τῆς στέγης. οὕτως φοβερὸς ὁ λόγος, ὁ θεὸς ὁ ἐντειλάμενος τῷ Ισραὴλ μὴ ποιῆσαι γλυπτὸν, μήτε εἰκόνα, μήτε ὁμοίωμα, ὅσα ἐστὶν ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς, αὐτὸς προστάσσει τῷ Μωϋσῇ, ποιῆσαι γλυπτὰ ζῶα χερουβίμ. καὶ τῷ Ιεζεκιὴλ, πλήρη εἰκόνων καὶ ὀνομάτων γλυπτῶν λεόντων καὶ φοινίκων καὶ ἀνθρώπων δείκνυσι τὸν ναὸν ὁ θεός. καὶ Σολομὼν, ἐκ νόμου λαβὼν τὸ τύπωμα, πλήρη πεποίηκε τὸν ναὸν χαλκῶν γλυπτῶν, βοῶν, καὶ φοινίκων, καὶ ἀνθρώπων,

καὶ οὐ κατεγνώσθη ὑπὸ τοῦ θεοῦ ἐν τούτῳ. εἰ τοίνυν ἐμοῦ καταγινώσκειν θέλεις περὶ εἰκόνων, πρόσκατάγνωθι τοῦ θεοῦ τοῦ ταῦτα ποιεῖν κελεύσαντος, ὡς ὑπόμνησιν αὐτοῦ εἶναι παρ' ἡμῖν.

Τοῦ αὐτοῦ ἐκ τοῦ πέμπτου λόγου.

Πάλιν ἡμᾶς διαπτύουσι περὶ τοῦ τιμίου σταυροῦ, καὶ τῆς τῶν θεοτυπώτων εἰκόνων σημειώσεώς τε καὶ προσκυνήσεως, εἰδωλολάτρας ἡμᾶς καὶ ξυλοθέους ὀνομάζοντες οἱ πανάθεοι. εἰ δὲ ξυλόθεός εἰμι, ὡς λέγεις ἄθεε, καὶ πολύθεος πάντως. εἰ δὲ πολύθεος, ἐχρῆν με πάντως ὀμνύντα, λέγειν. μὰ τοὺς θεούς, καθάπερ καὶ σὺ εἴα ὁρῶν μόσχον, ἔλεγες. οὗτοι οἱ θεοί σου Ἰσραήλ. ἀλλ' οὐκ ἀξιωθείης τοῦτο παρὰ χριστιανῶν στομάτων ἀκοῦσαι ποτέ. ἀλλ' εἴθισται ἀεὶ ἡ μοιχαλὶς καὶ ἄπιστος συναγωγή, τὴν πανσώφρονα χριστοῦ ἐκκλησίαν, ὡς πόρνην διαπορνεύειν. Τοῦ αὐτοῦ.

Οὐδὲ γὰρ παρ' ἡμῶν ὡς θεοὶ προσκυνοῦνται οἱ τῶν ἁγίων χαρακτῆρες, καὶ εἰκόνες, καὶ τύποι. εἰ γὰρ ὡς θεῷ προσεκυνοῦμεν τῷ ξύλῳ τῆς εἰκόνος, ἐμέλλομεν πάντως καὶ τοῖς λοιποῖς προσκυνεῖν ξύλοις, καὶ οὐχ' ὡς πολλάκις λεανθέντος τοῦ χαρακτῆρος, τῷ πυρὶ τὴν εἰκόνα κατεκαίομεν. Καὶ πάλιν. ἕως

μὲν ὄντι συνδεδεμένα τὰ ξύλα τοῦ σταυροῦ, προσκυνῶ τὸν τύπον διὰ τὸν ἐν αὐτῷ σταυρωθέντα χριστόν, ἐπὰν δὲ διαιρεθῶσιν ἐξ ἀλλήλων, ῥίπτω αὐτὰ καὶ κατακαίω. Καὶ ὥσπερ ὁ κέλευσιν βασιλέως δεξάμενος ἐσφραγισμένην, καὶ ἀσπασάμενος τὴν σφραγῖδα, οὐ τὸν πηλὸν ἐτίμησεν, οὐ τὸν χάρτην ἢ τὸν μόλιβδον, ἀλλὰ τῷ βασιλεῖ ἀπένειμε τὸ σέβας καὶ τὴν προσκύνησιν, οὕτω καὶ χριστιανῶν παῖδες, τῷ τύπῳ τοῦ σταυροῦ προσκυνοῦντες, οὐ τὴν φύσιν τοῦ ξύλου προσκυνοῦμεν, ἀλλὰ σφραγῖδα καὶ δακτύλιον καὶ χαρακτῆρα χριστοῦ αὐτοῦ βλέποντες, δι' αὐτοῦ τὸν ἐν αὐτῷ σταυρωθέντα ἀσπαζόμεθα καὶ προσκυνοῦμεν. Τοῦ αὐτοῦ.

Καὶ διαγράφω, χριστόν, καὶ τὰ χριστοῦ πάθη, ἐν ἐκκλησίαις, καὶ οἴκοις, καὶ ἀγοραῖς, καὶ ἐν εἰκόσι, καὶ ἐν σινδόνι, καὶ ἐν ταμείοις, καὶ ἐν ἱματίοις, καὶ ἐν παντὶ τόπῳ, ἐκτυπῶ καὶ διαγράφω· ἵνα διηνεκῶς ὁρῶν ταῦτα, ἀναμιμνήσκωμαι, καὶ μὴ ἐπιλάθωμαι, ὥσπερ σὺ ἐπιλάθου κυρίου τοῦ θεοῦ σου ἀεί. καὶ ὥσπερ σὺ προσκυνῶν τὸ βιβλίον τοῦ νόμου, οὐ τὴν φύσιν τῶν δερμάτων καὶ τοῦ μέλανος προσκυνεῖς, ἀλλὰ τοὺς λόγους τοῦ θεοῦ τοὺς ἐγκειμένους ἐν αὐτῷ, οὕτως κἀγὼ τῇ εἰκόνι τοῦ χριστοῦ

προσκυνῶ, οὐ τῇ φύσει τοῦ ξύλου καὶ τῶν χρωμάτων, μὴ γένοιτο, ἀλλ' ἀψύχῳ χαρακτῆρι χριστοῦ προσκυνῶν, δι' αὐτοῦ, αὐτὸν χριστὸν δοκῶ κρατεῖν καὶ προσκυνεῖν. καὶ ὥσπερ Ἰακὼβ, δεξάμενος παρὰ τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον ἡμαγμένον, ὅτι ἐπίπρασαν τὸν Ἰωσὴφ, κατεφίλησε πάντως τὸν χιτῶνα μετὰ δακρύων, καὶ τοῖς ὀφθαλμοῖς τοῖς ἰδίοις ἐπέθηκεν, οὐ τὸ ἱμάτιον θρηνῶν, ἀλλὰ δι' αὐτοῦ τὸν Ἰωσὴφ νομίζων καταφιλεῖν, καὶ ἐν χερσὶν αὐτὸν κατέχειν, οὕτω καὶ χριστιανῶν παῖδες, εἰκόνα ἢ ἀποστόλου ἢ μάρτυρος κατασπαζόμενοι τῇ σαρκὶ, τῇ ψυχῇ νομίζομεν αὐτὸν ἐκεῖνον τὸν χριστὸν ἢ τὸν μάρτυρα αὐτοῦ ἀσπάζεσθαι. Ὡς γοῦν πολλάκις εἶπον, ὁ σκοπὸς ἐξετάζεται ἐπὶ παντὸς ἀσπασμοῦ, καὶ τῆς πάσης προσκυνήσεως. εἰ δὲ ἐμοὶ ἐγκαλεῖς, λέγων, ὅτι ὡς θεῷ προσκυνῶ τῷ ξύλῳ τοῦ σταυροῦ, διατί οὐκ ἐγκαλεῖς τῷ Ἰακὼβ, προσκυνήσαντι ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ; ἀλλὰ πρόδηλον, ὅτι οὐ τὸ ξύλον τιμῶν προσκύνησεν, ἀλλὰ διὰ τοῦ ξύλου, τῷ Ἰωσὴφ προσκύνησεν, ὥσπερ καὶ ἡμεῖς διὰ τοῦ σταυροῦ, τῷ χριστῷ. ἐπεὶ καὶ Ἀβραὰμ, τοῖς πωλήσασιν αὐτῷ τὸν τάφον ἀνδράσιν ἀσεβέσι προσε-

κύνησε, καὶ γόνυ ἔκαμψεν τὸ τὴν γῆν, ἀλλ' οὐχ ὡς θεοὺς αὐτοὺς προσεκύνησε. Καὶ πάλιν ὁ Ἰακὼβ, τὸν Φαραὼ ηὐλόγησεν, ἀσεβῆ καὶ εἰδωλολάτρην ὄντα, καὶ τὸν Ἡσαῦ, ἑπτάκις, ἀλλ' οὐχ ὡς θεόν. ἴδε πόσους ἀσπασμοὺς, καὶ πόσας προσκυνήσεις ἀπέδειξά σοι, γραφικάς τε καὶ φυσικὰς, μὴ ἐχούσας κατάγνωσιν. ἐμὲ δὲ ἐπὰν ἴδῃς εἰκόνα χριστοῦ, ἢ τῆς πανάγνου αὐτοῦ μητρὸς, ἢ ἁγίου προσκυνοῦντα, ἀγανακτεῖς εὐθέως, καὶ βλασφημεῖς, καὶ ἀποπηδᾷς, καὶ εἰδωλολάτρην με ἀποκαλεῖς. καὶ οὐκ αἰσχύνῃ, καὶ φρίττεις, καὶ ἐρυθριᾷς, ὁρῶν με καθ' ἑκάστην ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ ναοὺς εἰδώλων καταλύοντα, καὶ ναοὺς μαρτύρων ἀνεγείροντα. εἰ τὰ εἴδωλα προσεκύνουν, διατί τοὺς μάρτυρας τιμῶ τοὺς καταλύσαντας τὰ εἴδωλα; εἰ δὲ τὰ ξύλα ὡς θεὸς δοξάζω, πῶς τιμῶ τοὺς ἁγίους, τοὺς τὰ ξύλινα ξόανα τῶν δαιμόνων κατακαύσαντας; εἰ δὲ καὶ τοὺς λίθους δοξάζω, πῶς δοξάζω τοὺς ἀποστόλους τοὺς τὰ λίθινα εἴδωλα κατακλάσαντας; εἰ τὰς εἰκόνας τῶν ψευδωνύμων θεῶν σέβω, πῶς δοξάζω καὶ ἐπαινῶ, καὶ ἑορτὰς ἐπιτελῶ τῶν τριῶν παίδων τῶν ἐν Βαβυλῶνι ἀθλησάντων, καὶ τῇ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνησάν-

των, τῇ εἰδωλικῇ; ἀλλ' ὄντως πολλὴ τῆς ἀνόμων ἡ πώρωσις, πολλὴ τύφλωσις. ὦ ἰουδαῖε, πολλὴ ἡ ἀναίδειά σου καὶ ἡ ἀσέβεια. ἀληθῶς ἀδικεῖται ὑπὸ σοῦ ἡ ἀλήθεια. ἀνάστα ὁ θεὸς. δίκασον τὴν δίκην σου. κεῖνον ἢ δίκασον ἡμῖν ἐξ ἔθνους οὐχ ὁσίου, ἀλλ' αἰσίου καὶ ἀλλοτρίου, καὶ τῆς ὀξύνοντος σε διαπαντός.

Του αὐτοῦ.

Εἰ μὲν οὖν, ὡς πολλάκις εἶπον, τῷ ξύλῳ καὶ τῷ λίθῳ ὡς θεῷ προσεκύνουν, εἶπας ἂν καί σὺ τῷ ξύλῳ καὶ τῷ λίθῳ, σύ με ἐγέννησας. εἰ δὲ τὰς εἰκόνας τῶν ἁγίων προσκυνῶ, τοὺς ἁγίους μᾶλλον, καὶ προσκυνῶ τὰς τῶν ἁγίων μαρτύρων ἀθλήσεις καὶ τιμῶ, πῶς λέγεις εἴδωλα ταῦτα ὦ ἀνόητε; τὰ γὰρ εἴδωλα, τῶν ψευδωνύμων, τῶν μοιχῶν, καὶ φονευτῶν, καὶ παιδοφθορῶν, καὶ μαλακῶν, ὁμοιώματα εἰσὶ, καὶ οὐ προφητῶν, οὐδὲ ἀποστόλων. καὶ ἵνα ἐκμάθοις παραστήσωσοι σύντομον καὶ πρόχειρον ὑπόδειγμα τῶν χριστιανικῶν καὶ ἑλληνικῶν ὁμοιωμάτων, ἄκουσον. εἶχον ἐν βαβυλῶνι οἱ χαλδαῖοι, ὄργανα παντοῖα μουσικά, πρὸς θεραπείαν εἰδώλων δαιμόνων. εἶχον δὲ καὶ οἱ υἱοὶ Ἰσραὴλ, ἀπὸ Ἱερουσαλὴμ ὄργανα, ἃ ἐπὶ ταῖς ἰτέαις ἐκρέμασαν, καὶ ἀμφότερα ὄργανα, καὶ νάβλαι, καὶ κιθάραι, καὶ αὐλοὶ ὑ-

περχον. ἀλλὰ τὰ μὲν εἰς δόξαν θεοῦ ἔγινον
το, τὰ δὲ εἰς θεραπείαν τῶν δαιμόνων, ἀν-
τίμιμα. οὕτω λοιπὸν καὶ ἐπὶ τῶν εἰκόνων
καὶ εἰδώλων, ἑλληνικῶν καὶ χριστιανικῶν,
νόει. ὅτι ἐκεῖνα μὲν, εἰς δόξαν διαβόλου καὶ
μνήμην κατεσκευάσθησαν: ταῦτα δὲ, εἰς
δόξαν χριστοῦ, καὶ ἀποστόλων, καὶ μαρτύρων,
καὶ ἁγίων αὐτοῦ. Τοῦ αὐτοῦ.

Ὅταν τοίνυν ἴδῃς χριστιανὸν προσκυνοῦν-
τα τῷ σταυρῷ, γνῶθι, ὅτι διὰ χριστὸν τὸν σταυ
ρωθέντα, καὶ οὐ τὴν φύσιν τοῦ ξύλου προσ-
κυνεῖ. ἐπεὶ πάντα ἂν τὰ ξύλα προσεκυ-
νοῦμεν τοῦ ἀγροῦ, ὥσπερ ὁ Ἰσραὴλ προσεκύ-
νει τὰ ἄλση καὶ τὰ δένδρα, λέγων, σύ μου
εἶ θεὸς, καὶ σύ με ἐγέννησας. ἡμεῖς δὲ οὐχ'
οὕτως, ἀλλὰ μνήμην καὶ γραφὴν τῶν τοῦ
κυρίου παθημάτων, καὶ τῶν δι' αὐτὸν ἀθλη-
σάντων, ἐν ταῖς ἐκκλησίαις καὶ οἴκοις ἔχο-
μεν, πάντα δι' αὐτὸν ποιοῦντες τὸν ἡμέ-
τερον κύριον. Καὶ αὖθις. εἰπὲ ὦ ἰουδαῖε,
ποία γραφὴ ἐπέτρεψε Μωσεῖ, προσκυνῆσαι
Ἰοθὼρ τῷ γαμβρῷ αὐτοῦ, εἰδωλολάτρῃ ὄν-
τι. καὶ Ἰακὼβ, τῷ Φαραώ. καὶ Ἀβραὰμ, τοῖς
υἱοῖς Ἐμμώρ; καὶ εἰ ἐκεῖνοι δίκαιοι, καὶ προ
φῆται; καὶ Δανιὴλ τῷ Ναβουχοδονόσορ ἀσε
βεῖ ὄντι; καὶ εἰ ἐκεῖνοι διὰ κοσμικὴν καὶ

πρόσκαιρον ζωὴν ταῦτα ἐποίουν, πῶς ἐμοὶ ἐγκαλεῖς προσκυνοῦντι ταῖς ἁγίαις τῶν ἁγίων μνήμαις, γραφικαῖς καὶ ἱστορικαῖς; καὶ τὰ πάθη καὶ τὰς ἀθλήσεις, ἐξ ὧν καθημέραν διηγοῦμαι; καὶ αἰώνιον καὶ ἀΐδιον ζωὴν ἐκδέχομαι;

Τῆς ἐκκλησιαστικῆς ἱστορίας Θεοδωρήτου τετάρτου τόμου.

Υπὸ δὲ ταύτην τὴν ὑπατείαν, κατὰ τὸν μῆνα τὸν δεκέμβριον, ἔχοντα αὐτὸν εἰκάδα καὶ πέμπτην ἡμέραν, θαῦμα φοβερὸν καὶ ἐξαίσιον, πᾶσαν τὴν ἀκοὴν ἀνθρώπων καταπλῆττον γεγένηται. Ὀλύμπιος γάρ τις τοὔνομα, Εὐθυμίου τοῦ τῆς Αρείου θρησκείας ἐξάρχοντος, τὸν βαδιστὴν παραχρεδίοντα ἐν τῷ λουτρῷ τοῦ παλατίου ἑλενιανῶν, γενόμενος κατὰ τὸν προμαλάττοντα, καὶ θεασάμενος τινὰς τῶν λουομένων, τὴν τοῦ ὁμοουσίου δόξαν σεμνύνοντας, ἔφη αὐταῖς λέξεσιν, οὕτως. τί γάρ ἐστιν ἡ τριάς; ποίῳ δὲ τοίχῳ οὐκέτι γέγραπται; καὶ κρατήσας τῶν ἑαυτοῦ ἀναγκαίων, ἔφη. ἴδε, κἀγὼ τριάδα ἔχω. ὥστε κινηθέντας τοὺς ἐκεῖ εὑρεθέντας, μέλλειν αὐτὸν διαχειρίζεσθαι, ἀλλ' εἴρχθησαν ὑπό τινος Μάγνου πρεσβυτέρου τῶν ἁγίων ἀποστόλων ἐν τῷ προτειχίσματι, ἀνθρώπου

θαυμάσου, καὶ τὸν θεὸν θεραπεύοντος, φήσαντος πρὸς αὐτὸν, ὡς οὐκ ἂν διαλάθῃ τὸν τοῦ παντεφόρου δίκης ὀφθαλμὸν, ἀκριβεῖ λόγῳ γράφοντα. αἰδοῖ δὲ τοῦ αἴσχους τῆς ταραχῆς παυσαμένων, ἐξανέστη ὁ Ὀλύμπιος, καὶ τῇ ἐμβάσει τῶν θερμῶν ὡς ἔθος χρησάμενος, ἔξεισιν ἐπὶ τὴν τῶν ψυχρῶν ὑδάτων δεξαμενήν. ἥτις λαμβάνει τὰ ὕδατα ἐκ πηγῆς τικτομένης μέσον τοῦ σεπτοῦ θυσιαστηρίου τοῦ ἁγίου οἴκου τοῦ πρωτομάρτυρος Στεφάνου, ὃν ἐν παλαιοῖς ἔκτισεν ἀξιώμασιν ἀρχοντικοῖς διαλάμψας, Αὐρηλιανός. ἐνθένδε ἠτοῦμαι θείας ἐπαφίας τὸ ὕδωρ ἀξιοῦσθαι. ἐν ᾗ καταβὰς, θᾶττον ἐπαναβαίνει, κραυγάζων, ἐλεήσατέ με ἐλεήσατε. καὶ κνήθων αὐτοῦ τὰς σάρκας, τῶν ὀστῶν ἀπημέειξε. πάντων δὲ περὶ αὐτὸν γενόμενοι, καὶ κρατήσαντες, σινδόνι περιτυλίξαντες, ἀνέκλιναν ψυχορραγοῦντα. ἐπηρώτων δὲ, τί ἂν εἴη τὸ συμβὰν, καὶ φησὶν ὁ Ὀλύμπιος. ἄνδρα κατεῖδον λευχειμονοῦντα, ἐπιβάντα μοι κατὰ τῆς νεροφόρου, καὶ τρεῖς σίκλας θερμοῦ περιχέαντά μοι, καὶ λέγοντά μοι. μὴ δυσφήμει. λαβόντες δὲ αὐτὸν φορείῳ οἱ αὐτῷ διαφέροντες, μετεκόμισαν ἐν ἑτέρῳ λουτρῷ προσκειμένῳ τῇ τῶν ἀρχαίων ἐκ-

κλασίᾳ. θελόντων δὲ αὐτῇ ἄρτι λῆξαι τὴν ὀδύνην ἀπ' αὐτοῦ, συνεξέπαιρον πάσας τὰς σάρκας αὐτοῦ. καὶ οὕτως νεκρωθεὶς, ἀπέδωκε τὸ πνεῦμα. γνωστὸν δὲ ἐγένετο τοῦτο σχεδὸν καθ' ὅλης τῆς βασιλίδος. ἐφήμιζον δέ τινες περὶ τοῦ πεπονθότος, ὡς χρόνοις τισὶν, ἀπὸ τῆς τὸ ὁμοούσιον δοξαζούσης θρησκείας, εἰς τὴν Αρείου μετεβαπτίσατο λατρείαν. ἐπειδὴ δὲ τὸ συμβεβηκὸς, καὶ ἀκοαῖς βασιλέως ἐπλησίασεν, Αναστάσιος δὲ ἦν, ἐπέτρεψεν εἰκόνι χρωματισθὲν τὸ τεράστιον, ὕπερθεν τῆς ὑδροφόρου καταπαγῆναι. Ιωάννης δέ τις διάκονος, καὶ ἔκδικος τοῦ περιλεχθέντος εὐαγοῦς οἴκου Στεφάνου τοῦ τῶν μαρτύρων πρώτου, ἀνὴρ εἴ καί τις ἄλλος ζῆλον ὑπὲρ τοῦ ὁμοουσίου δόγματος ἑκάστοτε ἐνδεικνύμενος, καὶ αὐτὸς εἰκόνι κατέγραψεν, ἀλλ' οὐχ ἁπλῶς. τῶν γὰρ ἐκεῖσε λουομένων καὶ θεραπευομένων, τὰ ὀνόματα κατέγραψε· καὶ ἔνθα εἴη ἕκαστος οἰκῶν, ἔτι τε καὶ τῶν τοῖς ὕδασιν ὑπηρετούντων. μαρτυρεῖ δὲ ἡ εἰκὼν, ἄχρι τοῦ παρόντος πεπηγυῖα ἐν τῷ ἐμβόλῳ τοῦ τετραστόου, τοῦ πολλάκις εἰρημένου εὐκτηρίου. ἐπειδὴ δὲ τῷ θαύματι θαῦμα ἐπηκολούθησεν, οὐχ ὅσιον παριδεῖν, τῆς αὐτῆς ὑποθέσεως τυγχάνον. ὅπερ, εἰ καὶ τὸν παρόντα καιρὸν ὑπε-

ρῆλθε,

ρῆλθε, λέγειν οὐκ ὀκνήσω. Θεασάμενοι γὰρ οἱ τῆς Ἀρείου συμμορίας ἐπικρατοῦντα θρίαμβον, ἐλιπάρησαν ἕνα τοῦ παλατίου ἑλενιακῶν τὴν φροντίδα πεπιστευμένον, ὡς ἐξάρχοντα καὶ τῆς τοῦ λουτροῦ διοικήσεως, καθελόντα, κατακρύψαι τὴν εἰκόνα. ὃς πρόφασιν εὐμήχανον εὑράμενος, τὴν ἐκ τῶν ὑδάτων προσγινομένην νοτίδα, ὡς σκυλθεῖσαν τὴν εἰκόνα ἀφελόμενος, φησὶν, ἐπὶ διορθώσει, κατέκρυψεν. ἣν ὁ βασιλεὺς, ἐγκυκλίους ἐπιδημίας ποιῶν εἰς ἕκαστον τόπον βασιλικὸν, παραγινόμενος κἀκεῖσε, τὴν εἰκόνα ἐπεζήτει, καὶ οὕτως αὖθις τῷ τοίχῳ κατεπάγη. τὸν ἀπόδας δὲ τὸν Εὐτυχιανὸν, τοῦτο γὰρ ἦν ὄνομα τῷ διαιταρίῳ, ὀργή τις θεοδίκαστος παραλαβοῦσα, τὸν μὲν δεξιὸν ὀφθαλμὸν διαρρεῦσαι πεποίηκε, κακίστως δὲ καὶ τὰ λοιπὰ περισείουσα μέλη, προσπελάσαι παρεσκεύασε τῷ ἐναγεῖ εὐκτηρίῳ, ἔνθα πεπίστευται ἀναπαύεσθαι μέρος ἱερῶν λειψάνων, τῶν θεσπεσίων Παντελέοντος καὶ Μαυρίνου, ἐπικαλουμένου τοῦ τόπου, ὁμόνοια, ἐκ τοῦ ἐκεῖ συνελθόντας τοὺς ἑκατὸν πεντήκοντα ἐπισκόπους ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, κοινήν τινα καὶ συμπεφωνημένην διδασκαλίαν, τὴν τοῦ ὁμοουσίου τῆς θείας τριάδος ποιήσασθαι,

καὶ τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου ζαιώ-
σαι τὴν ἐκ παρθένου πρόσληψιν, ταύτην τὴν
ἐπωνυμίαν κεκτῆσθαι. ἡμέρας τε πλείστου
ἐπὶ τὰ προσκαρτεροῦντος, καὶ ὀνοῦντος οὐ-
δέν, ἀλλὰ καὶ διαβρωθέντων αὐτῷ καὶ τῶν δι-
δύμων, μεσούσης μιᾶς τῆς νυκτῆς, ὁ λαχὼν
ὑποδιάκονος τὴν παννύχιον ἔχειν, ὁρᾷ κατ'
ὄναρ βασιλέα τινὰ ἐπιστάντα, καὶ τῇ χειρὶ ὑπο-
δεικνύντα τὸν ἀσθενῆ, λέγειν· πῶς ὑπεδέξω
τοῦτον; τίς δὲ ὁ ἐνταῦθα ἀγαγών; οὗτος ὁ
μετὰ τῶν εἰς ἐμὲ δυσφημούντων συμφραξά-
μενος· οὗτος ὁ κατακρύψας τὴν εἰκόνα τοῦ
θαύματος. διαναστὰς δὲ ὁ κληρικός, τὸ ὀφ-
θὲν διηγήσατο, φήσας, τῶν ἀδυνάτων τυγ-
χάνειν ἰαθῆναι τοῦτον τῆς μάστιγος. τῇ δὲ αὐ-
τῇ νυκτί, ὁ Εὐτυχιανὸς, ὥσπερ εἰς ὕπνον ἐκ
τῶν ὀδυνῶν ὑπαχθείς, ὁρᾷ τινὰ νεανίαν εὐ-
νοῦχον τινα λαμπρῷ ἠμφιεσμέ-
νον, λέγοντα αὐτῷ, τί ἔχεις; ὡς δὲ ἀποθνή-
σκω ἔφη, κατατηκόμενος καὶ θεραπείας μὴ
τυγχάνων, ἤκουε λέγοντος, ὡς οὐδείς σοι δύ-
ναται βοηθῆσαι, ὁ γὰρ βασιλεὺς δεινῶς ὀργί-
ζεται κατὰ σοῦ. ἢ τί βόλει οὗτος, καὶ φησί·
τίνα κινήσω, ἢ τί ποιήσω; ὁ δὲ φησίν, εἰ θέ-
λεις ἀνεθῆναι, ἄπιθι συντόμως ἐν τῷ λου-
τρῷ ἐλανιανῶν, καὶ ἐγγύθεν τῆς εἰκόνος τοῦ

καυθέντος ἀρειανοῦ ἀναπαύθηναι. πρὸ αὐτὰ
δὲ δύο πνίξας, ἐν ᾧ τῆς ὑπηρετούντων ἐφώνει,
ἐξεπλάγησαν δὲ, τεσσάρων γὰρ ἡμερῶν ἤδη
παρελθουσῶν, ἀφωνίᾳ συνείχετο, καὶ φησὶ
πρὸς αὐτοὺς, ἀπάγειν αὐτὸν, καθὰ τὸ προστα-
χθὲν διεκελεύσατο. φθάσας δὲ τὸν τόπον, καὶ
πρὸς τὴν εἰκόνα τεθεὶς, ἐξέπνευσε. τὴν γὰρ ἀπὸ
τοῦ σώματος διάστασιν τῆς ψυχῆς, ἐλευθε-
ρίαν αἰτήσεως ὁ ὀφθεὶς ἀπορῶν, ἠλήθευσεν.

Τοῦ ἁγίου Ἀναστασίου, τοῦ ἁγίου ὄρους σινᾶ.

Ἀπὸ τεσσάρων μιλίων Δαμασκοῦ, χω-
ρίον ἐστὶν ἐπιλεγόμενον καρσάτας. ἐν ᾧ χωρίῳ,
ναός ἐστι τοῦ ἁγίου Θεοδώρου. ἐν τούτῳ τῷ ναῷ
εἰσελθόντες σαρακηνοὶ, κατῴκησαν, πάντα
ῥύπον καὶ ἀκαθαρσίαν ἐκ γυναικῶν, καὶ παί-
δων, καὶ ἀλόγων ποιήσαντες. ἐν μιᾷ οὖν τῶν
ἡμερῶν, καθεζομένων πολλῶν αὐτῶν, καὶ
συντυγχανόντων, ἔρριψεν εἷς ἐξ αὐτῶν σα-
γίταν κατὰ τῆς εἰκόνος τοῦ ἁγίου Θεοδώρου,
καὶ ἔκρουσεν εἰς τὸν δεξιὸν ὦμον αὐτοῦ, καὶ
εὐθέως ἐξῆλθεν αἷμα, καὶ κατῆλθεν ἕως κά-
τω τῆς εἰκόνος, πάντων θεωρούντων τὸ γε-
νόμενον σημεῖον, καὶ τὴν σαγίταν πεπηγμέ-
νην εἰς τὸν ὦμον τοῦ ἁγίου, καὶ τὸ αἷμα κα-
τερχόμενον. καὶ μὴν σημεῖον τοιοῦτον παρά-
δοξον γενόμενον θεασάμενοι, οὐκ ἦλθον εἰς συ

ναίσθησιν. οὐ μετενόησεν ὁ τὴν σαγίταν ῥί-
ψας. οὐκ ἐτάραξεν ἑαυτὸν εἷς ἐξ αὐτῶν.
οὐκ ἀνεχώρησαν τοῦ ναοῦ. οὐκ ἐπαύσαντο ἐν
ποιοῦντες αὐτόν. καὶ μέντοιγε τὴν ἑορτὴν
ἔδωκαν τιμωρίαν. εἰκοσιτεσσάρων γὰρ οἴκων
ὑπαρχόντων, ἐξ αὐτῶν τῶν κατοικούντων ἐν
τῷ ναῷ, ἐντὸς ὀλίγων ἡμερῶν, ἅπαντες πι-
κρῷ θανάτῳ ἐξηλείφθησαν, μηδενὸς τούτων
τελευτήσαντος ἐν τῷ αὐτῷ χωρίῳ, εἰ μὴ αὐτῶν
τῶν κατοικούντων ἐν τῷ ναῷ ἐν ταῖς αὐταῖς
ἡμέραις. αὕτη οὖν ἡ εἰκὼν ἡ τοξευθεῖσα, ἔτι
περίεστιν, ἔχουσα καὶ τὴν πληγὴν τῆς σαγί-
τας, καὶ τὸν τύπον τοῦ αἵματος. πολλοὶ δὲ
ζῶσι τῶν θεασαμένων, καὶ εὑρεθέντων τό-
τε, ὅτε τὸ παράδοξον τοῦτο γέγονε. κἀγὼ δέ,
ὡς θεασάμενος τὴν αὐτοῦ εἰκόνα, καὶ θεα-
σάμενος ὃ ἐθεασάμην ἔγραψα.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Συμεῶνος τοῦ θαυματουρ-
γοῦ, ἐξήγησις Ἀρκαδίου ἀρχιεπισκόπου Κύ-
πρου, θαῦμα ἑκατοστὸν τριακοστὸν δεύτερον.

Συνέβη δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἄν-
δρα τινὰ ἀγοραῖον τῆς πόλεως Ἀντιοχείας,
συνοχῇ δεινῇ κατέχεσθαι ὑπὸ δαίμονος πο-
νηροῦ, καὶ στενοχωρεῖσθαι πολλοῖς χρόνοις, ὥστε κα-
ταπνίγεσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ, σφιγγομένων
τῶν πνοιῶν αὐτοῦ. οὗτος ἀνελθὼν πρὸς τὸν

ἅγιον, καὶ τυχὼν ἰάσεως ταῖς αὐτοῦ πρεσβεί-
αις, καὶ γενόμενος ὡς μηδὲν πεπονθὼς κα-
κόν, καὶ ἐπανελθὼν εἰς τὸν ἴδιον οἶκον, κατ'
εὐχαριστίαν, ἀνέστησεν αὐτῷ εἰκόνα ἐν δημοσίῳ
καὶ ἐμφανεῖ τῆς πόλεως τόπῳ, ἐπάνω τῆς
θυρίδος τοῦ ἐργαστηρίου αὐτοῦ. ἰδόντες δὲ αὐ-
τὴν τινὲς τῶν ἀπίστων, οὕτως ἐντίμως μετὰ φώ-
των καὶ ξύλων δοξαζομένην, καὶ πλησθέντες
ζήλου, συνετάραξαν τοὺς ὁμοίους αὐτῆς ἀ-
τάκτους ἀνθρώπους, ὥστε συνελθεῖν πλῆ-
θος, καὶ ἐν ταράχῳ κράζειν, αἶρε τοῦ ζῆν τὸν
τοῦτο πεποιηκότα, καὶ ἡ εἰκὼν καταβληθήτω.
συνέβη δὲ κατ' οἰκονομίαν θεοῦ, τὸν ἄνδρα
μὴ εὑρεθῆναι τότε ἐν τῷ οἴκῳ αὐτοῦ, πρεσεῦν
μοῦ τοῦτο γὰρ διαχειρίσασθαι αὐτόν, ἄλλων ἄλ
λα κραζόντων. ἡ γὰρ κακία αὐτῆς, πολλὴ καὶ
μεγάλη ἦν ἐνώπιον τοῦ θεοῦ σφόδρα, καὶ ὁ
φθόνος ἄμετρος. ὑφ' οὗ καὶ ἐνεργούμενοι, εἰς
τοῦτο συνεληλύθησαν. καιρὸν νομίσαντες εὑ-
ρεῖν, καταστασιάσαι καὶ καθυβρίσαι τὸν ἅγιον,
ὡς πολλάκις ἐλέγξαντα τὴν κακοπιστίαν καὶ
πλάνην τῆς ἐν αὐτοῖς ἑλληνιζόντων. ὡς οὖν
οὐκ ἠδύναντο φέρειν τὴν τοσαύτην μανίαν,
ἐπέτρεψαν ἑνὶ τῆς στρατιωτῆς, ἀνελθεῖν ἐκ
ἀναβαθμοῖς, καὶ ῥῖψαι τὴν εἰκόνα. ἀνελ-
θὼν δὲ ἐκεῖνος, καὶ ἐκτείνας τὰς χεῖρας τῶν

ποιῆσαι ἐπὶ προσάχθεὶ, εὐθέως ἀπερράγη, ἀνωθεν κάτω καταπεσὼν ἐπὶ τὴν γῆν. καὶ ἐγένετο θόρυβος μέγας εἰς τὸν ὄχλον. καὶ προσελθὼν ἐξαφθείς, ἄλλον ἀναγαγεῖν, καὶ ἐκτείνας κἀκεῖνος τὰς χεῖρας αὐτοῦ κατασῦραι αὐτὴν, ὡσαύτως ἀπερράγη ἐπὶ τὴν γῆν. καὶ τούτου γενομένου, φοβηθέντες πάντες, ἤρξαντο τὴν σφραγῖδα τοῦ σταυροῦ περιάπτειν ἑαυτοῖς. ἐπὶ πλέον δὲ μεμηνότες οἱ ἄπιστοι ἐκεῖνοι, προσέθεντο καὶ τρίτον ἀνενέγκαι ἐπὶ οὕτω, καὶ ὡς ἐξέτεινε καὶ αὐτὸς τὰς χεῖρας τοῦ ἅψαι τὴν εἰκόνα, ὁμοίως καὶ αὐτὸς κατερράγη ἐπὶ τὴν γῆν. τότε φόβος μέγας ἐπῆλθεν ἐπὶ πάντας τοὺς παρεστῶτας πιστοὺς, οἳ καὶ ἐκπληττόμενοι ἐπὶ τῇ πωρώσει καὶ τόλμῃ τῶν ἀπίστων καὶ ἀνοσίων ἐκείνων ἀνδρῶν, προσκυνοῦντες μετὰ προσευχῆς τῇ εἰκόνι, ἀνεχώρουν.

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ λόγου τοῦ, ἐπιγνῶναι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις.

Μὴ τοίνυν ἀλγῶμεν ἀγαπητοὶ, μὴ δὲ καταπίπτωμεν ἐπὶ τῇ παρούσῃ θλίψει, ἀλλὰ θαυμάσωμεν τὸ εὐμήχανον τῆς τοῦ θεοῦ σοφίας, δι᾽ ὧν γὰρ προσεδόκησεν ὁ διάβολος, τὴν πόλιν ἡμῶν καταβαλεῖν, διὰ τούτων

αὐτὴν ὁ θεὸς ἀνέστησε καὶ ἀνώρθωσεν. ὁ μὲν γὰρ διάβολος, ἐνέπνευσέ τισι πονηροῖς ἀνθρώποις, καὶ τοὺς τῶν βασιλέων ὑβρίζειν ἀνδριάντας, ἵνα καὶ αὐτὸ τῆς πόλεως ἀφανίσῃ τὸ ἔδαφος. Τοῦ αὐτοῦ.

Ἐπειδὴ δὲ συνέβη τὰ τολμηθέντα, καί τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους καταπατήσαντες, τοὺς ἀνδριάντας καθεῖλον, καὶ τὸν περὶ τῶν ἐσχάτων πᾶσιν ἐπικρέμασαν κίνδυνον, καὶ νῦν ὑπὲρ τῆς ζωῆς αὐτῆς δεδοίκαμεν, παροξύναντες βασιλέα, οὐκέτι λοιπὸν ἡ τῶν χρημάτων δάκνει ζημία, ἀλλ' ἕτερα ἀντ' ἐκείνων. πάντων ἀκούω λεγόντων, λαβέτω τὴν οὐσίαν ὁ βασιλεύς, ἀφιστάμεθα τῶν ἀγρῶν καὶ τῶν οἰκιῶν ἀγαπητῶς, μόνον τὸ σῶμα τίς ἡμῖν γυμνὸν ὑπόσχηται διασώζειν. ὥσπερ οὖν ἐνταῦθα πρὶν ἢ τὸν ἀπὸ τοῦ θανάτου φόβον ἡμῖν ἐπιστῆναι, ἔδακεν ἡ ζημία τῶν χρημάτων, ἐπειδὴ δὲ ἐτολμήθη τὰ παράνομα, ἐπεισελθὼν, τὴν ὀδύνην τῆς ζημίας ἀπώθησεν. Τοῦ αὐτοῦ.

Οὐκ οἶδας, κἂν μὴ λῃστεύῃ τις, εἰ δὲ τὸ τῶν λῃστῶν σπήλαιον φανῇ, τὴν αὐτὴν ἐκείνοις δίδωσι δίκην; καὶ τί λέγω τὰ τῶν λῃστῶν; ἴστε δήπου πάντες καὶ μέμνησθε, ὅτι τοὺς ἀνδριάντας καθεῖλον παρ' ἡμῖν μιαροί τινες ἄν

θρωποι, καὶ γόητες. ἀλλ' ὅσοι παρόντες ἁπλῶς τοῖς γινομένοις ἐφαίνοντο, εἰς δικαστήριον ἁρπασθέντες καὶ συναχθέντες ἐκείνοις, τὴν ἐσχάτην ἔδωκαν δίκην.

Θεοδωρίτου ἐπισκόπου κύρου, ἐκ τῆς φιλοθέου ἱστορίας, περὶ Μακεδονίου ἀσιαίτου.

Ἄλλοτε δὲ τῆς πόλεως ὑπό τινος πονηροῦ δαίμονος βακχευθείσης, ὡς δῆθεν νόσους ἀποδιῶξαι, τῇ μανίᾳ κατὰ τῶν βασιλικῶν ἐχρήσαντο στηλῶν ἀνοήτως.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Θεοδώρου ἀναγνώστου κωνσταντινουπόλεως, περί τινος αἱρετικοῦ Παλλαδίου.

Ὁ δὲ τῆς ἀντιοχείας ἐπίσκοπος Παλλάδιος, πρὸς χάριν βασιλέως διαπραττόμενος, τοὺς τοῖς ἐν χαλκηδόνι ἁγίοις δόγμασιν ἑπομένους, ἐμυσάττετο, καὶ τὰς τῶν ἁγίων πατέρων εἰκόνας καθεῖλεν.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Κωνσταντίνου, τοῦ τρίτου βιβλίου, κεφαλ. δ'.

Τὰ μὲν οὖν αὐτῷ κατὰ θυμὸν συνετελεῖτο, τὰ δὲ τοῦ φθόνου βασκανίας, δεινῶς τὰς κατὰ τὴν Ἀλεξάνδρειαν ἐκκλησίας ἐκταράττοντα, καὶ τὰ θηβαίων τε καὶ αἰγυπτίων σχίσματα ἐποίουν, καὶ ἄλλα κακὰ οὐ σμικρά, αὐτῶν ἐκείνων προσεγγυμένων καθ' ἑ-

κάστην πόλιν, ἐπισκόπων ἐπισκόποις, δήμων τε δήμοις ἐπανισταμένων, καὶ μονονουχὶ συμπληγάδες, κατακοπτόντων ἀλλήλους. ὥστε ἰδεῖν, φρενῶν ἐκστάσει, ἀνοσίως ἐγχειρεῖν, καὶ τὰς βασιλέων ἀφρόνως ὑβρίζειν εἰκόνας.

Τῆς ἐκκλησιαστικῆς ἱστορίας, περὶ τῶν τὰ Διοσκόρου φρονούντων.

Εἰς τοσοῦτον γὰρ ἐληλύθει τῆς τόλμης, ὥστε καὶ τὰ τῶν ἐκεῖ γεγονότων μακαρίων ποιμένων ὀνόματα, τῶν ἱερῶν διπτύχων ἀνεῖλε, καὶ τὰς αὐτῶν εἰκόνας καθεῖλε, κατακαύσας τυραννικῶς.

Τῆς αὐτῆς ἱστορίας, περὶ τοῦ διαδεξαμένου τὸν θρόνον κωνσταντινουπόλεως μετὰ Μακεδόνιον αἱρετικόν.

Οὗτος ὁ ἀνόσιος, ἐν ταῖς συνάξεσιν ἀπερχόμενος, τοὺς σεπτοὺς οἴκους ἀναθεωρεῖσθαι κελεύων, εἴπου μὴ γεγραμμένον ἐν εἰκόνι εὕρισκε Μακεδόνιον, ταύτην εἰ μὴ καθεῖλεν, οὐκ ἂν ἐλειτούργει.

Τῆς αὐτῆς ἱστορίας, περὶ Ἰουλιανοῦ καὶ Τιμοθέου, τοῦ καὶ Ἐλούρου.

Τοῦτον τὸν Ἰουλιανόν, γνωρίζουσί τινες τῶν ταῖς ταραχαῖς χαιρόντων, Τιμοθέῳ τῷ ἐπισκόπῳ ὑπὸ τοῦ προλεχθέντος Μακεδονίου

συγκροτηθέντα, καὶ δι' ἣν αἰτίαν συνεκρότει-το, διὰ τῶν ὑπηρετουμένων αὐτῷ θᾶττον περιενέγκας, παρόντων καὶ πολιτικῶν ἀρχόντων ἐν τῷ ἐπισκοπείῳ, ἠνάγκαζε τὰ τῆς ἐν Χαλκηδόνι συνόδου, ἀναθέματι ὑποβαλεῖν. διόμενος δὲ ὁ γέρων ταῖς εἰκόσι τῶν κατοιχομένων ἱερέων, Φλαβιανοῦ καὶ Ανατολίου τῶν ἀρχιεπισκόπων, ἐν Κωνσταντινουπόλει κεχρηματισμένων, δι' ὧν ἡ ἐν Χαλκηδόνι σύνοδος τὸ κῦρος ἐκτήσατο, ἐκραύγαζεν, εἰ μὴ θέλετε ἀφήσειν τὰ τῆς λελεγμένης ἁγίας συνόδου, ἀναθεματίσαι τὰς τῶν ἐπισκόπων εἰκόνας, καὶ τῶν ἱερῶν διπτύχων ἀπαλεῖψαι.

Τοῦ Χρυσοστόμου, ἐκ τοῦ εἰς τὸν ἅγιον Φλαβιανὸν ἀποχείας.

Καὶ ὁ ὄχλος, ἐδείχθη τότε ὅπερ ἐστίν, ἀλόγῳ γὰρ χρησάμενοι ὁρμῇ στρατηγῷ, ὥρμων κατὰ τῶν βασιλικῶν εἰκόνων καὶ στηλῶν. καὶ καταβαλόντες ταύτας, ἔσυρον διὰ τῆς ἀγορᾶς, ἡ γὰρ μανία τὰς φρένας ἐλύπησε, καὶ τοὺς σώφρονας λογισμοὺς ἐτύφλωσεν ὁ θυμός.

Τοῦ αὐτοῦ λόγου, ἐκ τοῦ πατριάρχου Φλαβιανοῦ, πρὸς Θεοδόσιον τὸν μέγαν βασιλέα.

Ἡμάρτομεν ὦ βασιλεῦ, οὐ κρύπτομεν τὴν ἁμαρτίαν, ἧς καὶ ἡ κλῖσις κατηγορεῖ. οὐκ ἀρνούμεθα τὴν μανίαν, ἣν κατὰ τῶν σῶν εἰκό

των ἐμαίνημεν, μᾶλλον δὲ καθ' ἑαυτοῦ, ἀλλὰ τὴν φιλανθρωπίαν ὡς κατὰ κυνῶν πειμένομεν.
Καὶ πάλιν τοῦ αὐτοῦ ἐκ τοῦ ἁγίου Φλαβιανοῦ.

Μὴ διαφθείρῃς ταύτας εἰκόνας, ἀλλὰ μίαν εἰκόνα χαλκῆν. μὴ συντρίψῃς ταῦτα τὰ συνεργήματα θεῖα, δι' ἃ χαλκοῦ τι που τὸ συνέργημα, λυσάμενον χωνευθῆναι ῥαδίως.

Τοῦ αὐτοῦ χρυσοστόμου, ὅτι παλαιᾶς καὶ καινῆς, εἷς ὁ νομοθέτης, καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως.

Ἐγὼ καὶ τὴν κηρόχυτον γραφὴν ἠγάπησα, εὐσεβείας πεπληρωμένην. εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι, ξίφει βαρβάρων διώκοντα, καὶ πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα. κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Τοῦ ἁγίου Βασιλείου, εἰς τὸ ἐγκώμιον τῶν ἁγίων τεσσαράκοντα μαρτύρων.

Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς ὑπομνήσεως, κοινὴν τὴν ἀπ' αὐτῶν ὠφέλειαν τοῖς παροῦσι κατασκευώμεθα, προδείξαντες πᾶσιν ὥσπερ ἐν γραφῇ τὰς τῶν ἀνδρῶν ἀριστείας. ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα, καὶ λογογράφοι καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες, καὶ πολ

λοὺς εἰς τὴν ἀνδρείαν ἐπήγειραν ἑκάτεροι. ἃ
γὰρ ὁ λόγος τῆς ἱστορίας δι' ἀκοῆς παρίστησι,
ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δεί-
κνυσιν.

Τοῦ ἁγίου Γρηγορίου ναζιανζηνοῦ ἐκ τῶν ἐπῶν.

Ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ.
μὴ τῇ μὲν ἕλκειν, τῇ δ' ἀπωθεῖσθαι χεροῖν.
ἢ πλεῖον δεήσῃ τοῦ λέγειν, πράττων ἀεί.
γραφεὺς διδάσκει τὸ πλέον τοῖς ἐκτύποις.

Τοῦ αὐτοῦ μετάφρασις.

Ἐὰν φησὶ τῷ τρόπῳ οὐ διδάσκῃς, μὴ δίδα-
σκε τῷ λόγῳ, ἵνα μὴ οὓς ἕλκῃς τῷ λόγῳ, τού-
τους διὰ τὸ μὴ ἔχειν τρόπον χρηστὸν ἀποδιώ-
κῃς. πράττων γὰρ ἅπερ χρή, αὐτὴ ἡ ἀρτία
πρᾶξις, καὶ λόγους διδασκαλίας ἔσται, ὥς
περ ὁ ζωγράφος τοῖς τύποις κατὰ τὸ πλέον
διδάσκει.

Τοῦ αὐτοῦ.

Οὐδὲ Πολέμων ἔμοιγε σιγηθήσεται,
καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.
ἦν μὲν τὸ πρόσθεν οὗτος οὐκ ἐν σώφροσι,
καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης.
ἐπεὶ δ' ὁρμῶντι τοῦ καλοῦ κατεσχέθη,
σύμβουλον εὑρών, οὐκ ἔχω δ' εἰπεῖν τίνα,
εἴτ' οὖν σοφόν τιν', εἴθ' ἑαυτὸν ἀθρόως,
τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος,
ὥσθ' ἕν τι θήσω τῶν ἐκείνου θαυμάτων.

ἑταῖραι εἰς καλεῖ τις ἀκρατῆς νέος,
ἢ δ' ὡς πυλῶνος ἢ λαθραφασὶ πλησίον.
τῆς δ' ἦν ἀποπρύτης τῶν Πολέμων ἐν εἰκόνι,
ταύτην ἰδοῦσα, καὶ γὰρ ἦν σεβασμία,
ἀπῆλθεν εὐθὺς, καὶ διαπεπτημένη,
ὡς ζῶντ' ἐπαισχυνθεῖσα τὴν γεγραμμένον.

Τοῦ χρυσοστόμου ἐκ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς, κεφαλαίου ὀγδόου.

Ἀλλὰ τύπος γίνου τῶν πιστῶν, τοῦτ' ἔστι πάντα σεαυτὸν παρεχόμενος, τί ποτ τῶν καλῶν ἔργων, τουτέστι τῷ ἀρχετύπῳ τοῦ βίου, αὐτὸς ἔσο ὥσπερ εἰκὼν προκείμενος.

Ἐκ τοῦ προσφωνητικοῦ τῆς ἁγίας ἕκτης συνόδου.

Πάλιν Νεστόριος, καὶ πάλιν Κελεστῖνος καὶ Κύριλλος. ὁ μὲν γὰρ, τὸν χριστὸν διῄρει καὶ κατεδίχαζεν. οἱ δὲ, τῷ δεσπότῃ συλλαμβανόμενοι, τὸν κατατομέα κατέβαλλον. ἔφεστος ταῦτα, καὶ τῶν ἐκεῖσε πραχθέντων οἱ πίνακες, δι' ἀγράφου φωνῆς, σιγῶντες λαλοῦσι τὰ πράγματα.

Τοῦ ἀρχαιοτάτου Κλήμεντος πρὸς Ἀλέξανδρον ἐκ τοῦ ἑβδόμου βιβλίου τῶν στρωματέων.

Οὐκοῦν, οὐ μόνον ἐπαινεῖ τὰ καλὰ, ἀλλὰ αὐτὸς βιάζεται τοῦ εἶναι καλὸς. ἐκ τοῦ ἀγαθοῦ καὶ πιστοῦ δούλου μεταβαίνων δι' ἀγάπης

εἰς φίλον, διὰ τὸ πλῆθον τῆς ἕξεως, ὃ ἐκ μαθήσεως ἀληθοῦς καὶ συνασκήσεως πολλῆς, καθαρῶς ἐκτήσατο. ὡς αὖ οὕτω ἐπ' ἄκρον γνώσεως ἥκει, βιαζόμενος τῷ ἤθει, καὶ κεκοσμημένος τῷ σχήματι κατεσταλμένος, πάντα ἐκεῖνα ἔχων, ὅσα πλεονεκτήματα ἐστὶ τοῦ κατὰ ἀλήθειαν γνωστικοῦ, εἰς τὰς εἰκόνας ἀφορῶν τὰς καλὰς, πολλοὺς μὲν τοὺς κατωρθωκότας περὶ αὐτοῦ πατριάρχας, παμπόλλους δὲ προφήτας, ἀπείρους δὲ οὓς ἡμῖν ἀριθμῷ λογιζόμενος ἀγγέλους, καὶ τὸν ἐπὶ πᾶσι κύριον, τὸν διδάξαντα καὶ παραστήσαντα, δυνατὸν εἶναι, τὸν κορυφαίων ἐκείνων κτήσασθαι βίον.

Τοῦ ἁγίου Θεοδώρου ἐπισκόπου πενταπόλεως.

Πάλιν τίς ἀνὴρ, τῶν πρώτων τῆς χώρας ἐκείνης, Δίων τοὔνομα, ὃς πολλοῖς ἀναθήμασι κατεκόσμησε τὸν ναὸν τοῦ ἁγίου μάρτυρος, καὶ τὸ θυσιαστήριον αὐτοῦ, ἀργυρένδυτον ἐποίησε. καί τις τῶν οἰκετῶν αὐτοῦ, κλέψας ἐξ αὐτοῦ χρήματα πολλὰ, ἀπέδρα. ὁ δὲ Δίων, οὐ κατεδίωξεν ὀπίσω αὐτοῦ, ἀλλ' εἰς τὴν τοῦ μάρτυρος εἰκόνα ἀπελθὼν, κηρῷ τὸν τύπον τῆς εἰκόνος αὐτοῦ ἀνέμαξε. καὶ τῇ πίστει τοῦ ἁγίου μάρτυρος ἐν τῷ πυλεῶνι ἐκ τοῦ οἴκου

αὐτοῦ ἐνέπηξε, καὶ δὶς, ὅπως ἑαυτὸν ἐπέστρεψεν ὡς δεσπότινος ἐλαυνόμενος, καὶ ἦλθε πρὸς τὸν ἴδιον δεσπότην, μηδὲν ἐξ ὧν ἐσύλωσε ἀσχνίζας. τοῦτο οὖν πάντες μαθόντες, ἕως τῆς σήμερον ἡμέρας τοῖς ἀφροδισιάσκου συνέπεπλεῦσιν οἱ τῆς χώρας ἐκείνης.

Τοῦ ἁγίου Ἀθανασίου ἀλεξανδρείας κατὰ ἀρειανῶν βιβλίου τρίτου.

Τῆς δὲ οὐσίας τοῦ πατρὸς ἴδιον ὢν γέννημα ὁ υἱὸς, εἰκότως καὶ τὰ τοῦ πατρὸς λέγει ἑαυτοῦ εἶναι. ὅθεν πρεπόντως καὶ ἀκολούθως, τῷ λέγειν, ἐγὼ καὶ ὁ πατὴρ, ἕν ἐσμεν, ἐπήγαγεν. ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. τοῦτο δὲ πάλιν προσείρηκεν. ὅτι ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. καὶ ἔστιν εἷς καὶ οὗτος νοῦς ἐν τοῖς τρισὶ ῥητοῖς. ὁ γὰρ οὕτως ἐγνωκὼς, ὅτι ἕν εἰσιν ὁ υἱὸς καὶ ὁ πατὴρ, οἶδεν ὅτι αὐτὸς ἐν τῷ πατρί ἐστιν, καὶ ὁ πατὴρ ἐν τῷ υἱῷ. ἡ γὰρ τοῦ υἱοῦ θεότης, τοῦ πατρός ἐστι, καὶ αὐτὴ ἐν τῷ υἱῷ ἐστι. καὶ ὁ τοῦτο δὲ καταλαβὼν, ἐπίσταται, ὅτι ὁ ἑωρακὼς τὸν υἱὸν, ἑώρακε τὸν πατέρα, ἐν γὰρ τῷ υἱῷ ἡ τοῦ πατρὸς θεότης θεωρεῖται. τοῦτο δὲ, καὶ ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος τοῦ βασιλέως, προσεχέστερον τίς κατανοῆσαι δύναται, ἐν γὰρ τῇ εἰκόνι τοῦ βασιλέως, τὸ εἶδος καὶ ἡ μορφὴ ἐστὶ, καὶ

ἐν τῷ βασιλεῖ δὲ, τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. ἀπαράλλακτος ἐστὶν ἐν τῇ εἰκόνι τοῦ βασιλέως ἡ ὁμοιότης, ὡς τὸν ὁρῶντα τὴν εἰκόνα, ὁρᾶν τὸν βασιλέα ἐν αὐτῇ. καὶ τὸν πάλιν ὁρῶντα τὸν βασιλέα, ἐπιγινώσκειν ὅτι οὗτος ἐστὶν ὁ ἐν τῇ εἰκόνι. ἐκ δὲ τοῦ μὴ διαλλάττειν τὴν ὁμοιότητα, τῷ θέλοντι μετὰ τὴν εἰκόνα τὸν βασιλέα θεωρῆσαι, εἴποι ἂν τούτῳ ἡ εἰκὼν, ἐγὼ καὶ ὁ βασιλεὺς, ἕν τι ἐσμέν. ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμί. κἀκεῖνος, ἐν ἐμοί. καὶ ὃ ὁρᾷς ἐν ἐμοὶ, τοῦτο ἐν ἐκείνῳ βλέπεις. καὶ ὃ ἑώρακας ἐν ἐκείνῳ, βλέπεις τοῦτο ἐν ἐμοί. ὁ γὰρ προσκυνῶν τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα, ἡ γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδος αὐτοῦ ἐστὶν ἡ εἰκών.

Τοῦ αὐτοῦ πρὸς Ἀντίοχον ἄρχοντα.

Τί φασι πρὸς ταῦτα, οἱ ἀπροσεφόμενοι καὶ διαστρέφοντες μὴ προσκυνεῖν τοὺς χαρακτῆρας τῶν ἁγίων, οἵτινες δι' ὑπόμνησιν παρ' ἡμῶν ἐκτυποῦνται;

Ἀμβροσίου ἐπισκόπου Μεδιολανίων, πρὸς Γρατιανὸν τὸν βασιλέα περὶ τῆς ἐν σάρκου οἰκονομίας τοῦ θεοῦ λόγου.

Θεὸς πρὸ τῆς σαρκὸς, καὶ θεὸς ἐν σαρκί. ἀλλὰ φόβος φησὶ, μὴ δύο ἡγεμονικὰ, ἢ σοφίας διπλῆν ἀπονέμοντες χριστῷ, μερίζειν δόξωμεν χριστόν.

χριστόν. ἄρα οὖν, μὴ ὁπότε καὶ τὴν θεότητα αὐτοῦ καὶ τὴν σάρκα προσκυνοῦμεν, μερίζομεν τὸν χριστόν; ἢ ὅτε ἐν τῷ αὐτῷ, καὶ τὴν τοῦ θεοῦ εἰκόνα καὶ τὸν σταυρὸν προσκυνοῦμεν, διαιροῦμεν αὐτόν; μὴ γένοιτο.

Κυρίλλου πατριάρχου ἱεροσολύμων, τῆς δωδεκάτης κατηχήσεως.

Εἰ τοίνυν ζητεῖς τῆς χριστοῦ παρουσίας τὸ αἴτιον, ἀνάδραμε ἐπὶ τὸ πρῶτον τῶν γραφῶν βιβλίον. ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς τὸν κόσμον, ἀλλ' ὁ κόσμος, διὰ τὸν ἄνθρωπον. ἥλιος μὲν γὰρ, λαμπρότατος, αὐγαῖς ἀποστίλβων, ἀλλὰ διὰ τὸν ἄνθρωπον φαίνειν ἐγένετο. καὶ πάντα τὰ ζῶα, διὰ τὸ δουλεύειν ἡμῖν κατέστη. βοτάναι καὶ δένδρα, διὰ τὴν ἡμετέραν ἀπόλαυσιν. ἐκτίσθη πάντα καλὰ τὰ δημιουργήματα, ἀλλ' οὐδὲν τούτων εἰκὼν τοῦ θεοῦ, μόνος δὲ ἄνθρωπος. ἥλιος, προστάγματι μόνῳ, ἄνθρωπος δὲ, χερσὶ θείαις ἐπλάσθη. ποιήσωμεν γὰρ ἄνθρωπον, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. εἰκὼν ξυλίνη ἐπιγείου βασιλέως, τιμᾶται, πόσῳ γε μᾶλλον εἰκὼν λογικὴ θεοῦ;

Τοῦ ἁγίου Βασιλείου πρὸς τὸν ἅγιον Φλαβιανὸν περὶ τῆς Σαμαρείτιδος.

Εν τόπῳ εἶναι τὴν προσκύνησιν ἐκ τῆς ἐγ

χωρίου συνηθείας ἠπατημένην, ὁ κύριος ἡμῶν μεταδιδάσκων, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν φησιν, ἑαυτὸν λέγων δηλαδὴ τὴν ἀλήθειαν. ὥσπερ ἐν τῷ υἱῷ προσκυνεῖν λέγομεν τὸν πατέρα ὡς ἐν εἰκόνι θεοῦ πατρὸς, οὕτω καὶ ἐν τῷ πνεύματι, ὡς ἐν ἑαυτῷ δεικνύντι τὴν τοῦ κυρίου θεότητα.

Τοῦ ἁγίου Γρηγορίου ναζιανζοῦ εἰς τὸ βάπτισμα.

Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς διώκτης, προσβαλεῖ δέ, καὶ γὰρ τῷ λόγῳ καὶ θεῷ μου προσέβαλε, τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον, ἔχεις ᾧ νικήσεις, μὴ φοβηθῇς τὸν ἀγῶνα, προβαλοῦ τὸ πνεῦμα, προβαλοῦ τὸ ὕδωρ. Καὶ μετ᾽ ὀλίγα. εἰπὲ τῇ σφραγῖδι θαρρήσας, εἰκών εἰμι θεοῦ, τῆς ἄνω δόξης, οὔπω δι᾽ ἔπαρσιν ὥσπερ σὺ καταβέβλημαι, χριστὸν ἐνδέδυμαι, χριστὸν μεταπεποίημαι τῷ βαπτίσματι, σύ με προσκύνησον.

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου εἰς τοὺς Μακκαβαίους.

Τὰ τῶν βασιλικῶν ἐκτυπώματα χαρακτήρων, οὐ μόνον ἐν χρυσῷ καὶ ἀργύρῳ, καὶ ταῖς τιμιωτέραις ὕλαις ὁρῴης ἂν διαλάμποντα, ἀλλ᾽ ἤδη καὶ ἐν χαλκῷ τὴν αὐτὴν

οὐκ ἰδίαν χαραττομένην μορφήν. καὶ ἡ διαφορὰ τῆς ὕλης, οὐ λυμαίνεται τῷ ἀξιώματι τοῦ χαρακτῆρος, οὐδὲ ἀμβλύνει τὴν ἀπὸ τῶν κρειττόνων τιμὴν ἡ τῆς ἐλάττονος μετοχή, ἀλλὰ πάσας ὁμοίως ὁ βασιλικὸς τύπος σεμνύνει. καὶ οὐδεὶ ἀπὸ τῆς ὕλης αὐτὸς ἐλαττούμενος, τιμιωτέραν τὴν δεχομένην ἐργάζεται.

Τοῦ αὐτοῦ κατὰ Ἰουλιανοῦ τοῦ ἀθέου ἐκ τοῦ πρώτου λόγου.

Τί δὲ ὁ νέος Ναβουχοδονόσορ; οὐδὲν γὰρ οὗτος εἰς ἡμᾶς τοῦ πάλαι φιλανθρωπότερον ἐπεδείξατο, οὗ οἱ ἄνθρακες ἡμᾶς ἔτι διαθάλπουσιν, εἰ καὶ τὴν φλόγα διαπεφεύγαμεν. οὐχὶ καὶ τὰ ἀναθήματα τῶν ἁγίων ἐπὶ ἐκκλησίαις κείμενα εἰς προσκύνησιν τῶν πιστῶν, δηλοῦσι τὴν λώβην τοῦ σώματος;

Τοῦ αὐτοῦ εἰς τὸν νικητήρα.

Ὥσπερ γὰρ ὅταν βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες εἰς πόλιν καταπέμπωνται καὶ εἰσφέρωνται, ὑπαντῶσιν ἄρχοντες καὶ δῆμοι μετ' εὐφημίας καὶ φόβου, οὐ σανίδα τιμῶντες, οὐ τὴν κηρόχυτον γραφήν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ βασιλέως, οὕτως καὶ ἡ κτίσις.

Σεβηριανοῦ γαβάλων εἰς τὸν σταυρὸν, λόγου τετάρτου.

Ἐπάταξε Μωσῆς τὴν πέτραν καὶ ἅπαξ καὶ

δίς. διχῇ δὲ ἅπαξ καὶ δίς; εἰ δυνάμει θεοῦ ὑπακούει, τίς χρεία δευτέρας πληγῆς; εἰ δὲ ἐκτὸς δυνάμεως θεοῦ τύπτει, οὐδὲ δευτέρα, οὐδὲ δεκάτη, οὐδὲ ἑκατοστὴ πληγὴ δυνήσεται ἐπιθεῖναι τῇ ἀγόνῳ φύσει γόνιμον φύσιν. εἰ μὲν οὖν θεοῦ τὸ ἔργον ἁπλῶς, καὶ ἄνευ μυστηρίου σταυροῦ, ἤρκει ἅπαξ, ἤρκει καὶ νεῦμα μόνον, ἤρκει καὶ λόγος, ἀλλ᾽ ἵνα τὴν εἰκόνα τοῦ σταυροῦ προτυπώσῃ, τοῦτο γίνεται. ἐπάταξε φησὶ Μωϋσῆς καὶ ἅπαξ καὶ δίς, οὐ κατὰ τὸ αὐτὸ σχῆμα, ἀλλὰ σταυροτύπως γράφων, ἵνα καὶ ἡ ἄψυχος φύσις αἰσθηθῇ τοῦ σταυροῦ τὸ σύμβολον. εἰ γὰρ βασιλέως ἄρχοντος εἰκών, ἀναπληροῖ χώραν βασιλέως, καὶ προσκυνοῦσιν ἄρχοντες, καὶ ἱερομηνίαι ἐπιτελοῦνται, καὶ ἄρχοντες ὑπαντῶσι, καὶ δῆμοι προσκυνοῦσιν, οὐ πρὸς τὴν σανίδα βλέποντες, ἀλλὰ πρὸς τὸν χαρακτῆρα τοῦ βασιλέως, οὐκ ἐν τῇ φύσει θεωρουμένου, ἀλλ᾽ ἐν γραφῇ παραδεικνυμένου, πολλῷ μᾶλλον ἀθανάτου βασιλέως εἰκών, δύναται, οὐ πέτραν ῥῆξαι μόνον, ἀλλὰ καὶ τὸν οὐρανὸν καὶ πᾶσαν τὴν οἰκουμένην.

Ἐκ τῆς χρονογραφίας Ἰσιδώρου διακόνου.

Ἥμαρτε Θεόφιλος, λοιδορήσας Ἰωάννην τὸν χρυσόστομον πρὸς Εὐδοξίαν τὴν βασίλισσαν, ὅτι τὰ τῆς Ὠριγενίου αἱρέσεως φρονεῖ. ἔχθραι

νομένη ἡ αἰτοῦσα πρὸς Ἰωάννην τὸν ἐρημῖον, προφάσει τοῦ ἀμπελῶνος τῆς χήρας, καὶ διὰ τὴν ἁμαρτίαν ταύτην, οὐκ ἠδυνήθη ὁ θεόφιλος παραδοῦναι τὴν ψυχὴν, ἄχρις οὗ ἦλθεν ἡ εἰκὼν τοῦ χρυσοστόμου, καὶ προσκυνήσας αὐτὴν, παρέδωκε τὸ πνεῦμα.

Ἱερωνύμου πρεσβυτέρου Ἱεροσολύμων. Τῆς γραφῆς ὑμῶν, μηδαμοῦ ἐπιτρεπούσης ἡμῖν προσκυνεῖν τὸν σταυρὸν, τίνος χάριν λοιπὸν αὐτὸν προσκυνεῖτε; εἴπατε ἡμῖν τοῖς ἰουδαίοις, καὶ ἕλλησι, καὶ πᾶσι τοῖς ἐπερωτῶσιν ὑμᾶς ἔθνεσιν. Απόκρισις.

Διακοῦσον ὦ ἀνόητοι καὶ ἀναιδεῖς τῇ καρδίᾳ, τάχα συνεχώρησεν ὁ θεὸς, παντὶ ἔθνει σεβομένῳ τὸν θεὸν, πάντως προσκυνεῖν τὴν ὧδε τῆς γῆς, ἔργον ἀνθρώπου ὑπάρχον, ἵνα μηκέτι δύνωνται ἐγκαλεῖν τοῖς χριστιανοῖς περὶ τοῦ σταυροῦ, καὶ τῆς τῶν εἰκόνων προσκυνήσεως. ὥσπερ οὖν ὁ Ἰουδαῖος προσκυνεῖ τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τὰ δύο χερουβὶμ τὰ χωνευτὰ καὶ χρυσᾶ, καὶ τὰς δύο πλάκας, ἃς ἐλάξευσε Μωσῆς, μηδαμοῦ ἐπιτραπεὶς ὑπὸ τοῦ θεοῦ ταῦτα προσκυνεῖν ἢ ἀσπάζεσθαι, οὕτως καὶ οἱ χριστιανοὶ, οὐχ ὡς θεὸν τὸν σταυρὸν ἀσπαζόμεθα, ἀλλὰ δεικνύντες τὴν τῆς ψυχῆς ἡμῶν γνησίαν πρὸς τὸν σταυρω-

θέντα διάθεσιν.

Τοῦ μεγάλου Συμεῶνος τοῦ θαυμαστοῦ ὄρους, περὶ εἰκόνων.

Ἴσως δέ τις τῶν ἀπίστων φιλόνεικος ὤν, ἀμφισβητήσει, λέγων, ὅτι καὶ ἡμεῖς ἐν ταῖς ἐκκλησίαις εἰκόνας προσκυνοῦντες, ὡς ἀψύχοις προσευχόμενοι εἰδώλοις λογισθησόμεθα. μὴ οὖν γένοιτο ἡμᾶς τοῦτο ποιεῖν, τὰ γὰρ τῶν χριστιανῶν, πίστις ἐστὶ, καὶ ὁ ἀψευδὴς ἡμῶν θεὸς, ἐνεργεῖ τὰς δυνάμεις. οὐ γὰρ τοῖς χρωμᾶσιν, ἀλλὰ ἐν ὑπομνήσει τοῦ ἀπὸ τύπου γράμματος, ὁρῶντες τὸν ἀόρατον διὰ τῆς ὁρωμένης γραφῆς, ὡς παρόντα δοξάζομεν, οὐχ ὡς μὴ ὄντι θεῷ πιστεύοντες, ἀλλ᾽ ὡς ὄντι ἀληθῶς, οὔτε τοῖς ἁγίοις ὡς μὴ οὖσιν, ἀλλ᾽ ὡς οὖσι καὶ ζῶσι παρὰ τῷ θεῷ. καὶ τῶν πνευμάτων αὐτῶν, ἁγίων ὄντων, καὶ δυνάμει θεοῦ βοηθούντων τοῖς ἀξίοις, ὡς δεομένοις αὐτῶν.

Ἀναστασίου ἀρχιεπισκόπου Ἀντιοχείας, πρὸς Συμεὼν ἐπίσκοπον Βόστρων, περὶ τοῦ σαββάτου.

Ὥσπερ γὰρ ἀπόντος μὲν βασιλέως, ἡ εἰκὼν αὐτοῦ προσκυνεῖται, παρόντος δὲ, λοιπὸν περιττὸν καταλιπόντα τὸ πρωτότυπον προσκυνεῖν τῇ εἰκόνι, οὐ μὴν, ἐπεὶ οὐ προσκυνεῖται διὰ τὸ παρεῖναι τὸν, δι᾽ ὃν προσκυνεῖται, ἀτιμάζεσθαι αὐτὴν δεῖ, τοιοῦτόν τι ιο-

μέχρι συμβῆναι περὶ τὴν τοῦ νόμου σκιὰν, ἤτοι τὸ γράμμα, σκιὰν γὰρ αὐτὸν καλεῖ ὁ ἀπόστολος. ἐφ᾽ ὅσον γὰρ ἐταμιεύετο τὸν καιρὸν τῆς ἀληθείας ἡ χάρις, τὸν τύπον προσεῖπον οἱ ἅγιοι, θεωροῦντες ὡς ἐν ἐσόπτρῳ τὴν ἀλήθειαν, ἐλθούσης δὲ τῆς ἀληθείας, ζῆν μὲν κατὰ τὸν τύπον οὐκ ἐνόμιζον εἶναι καλὸν, καὶ τούτοις ἀκολουθεῖν ἔτι, παρόντων γὰρ τῶν πραγμάτων, παρέλκει λοιπὸν ὁ τύπος τοῦ πράγματος. πλὴν καὶ οὕτως, οὐκ ἠτίμαζον, οὐδὲ παρεῖλκον, ἀλλ᾽ ἐτίμων τὸν τύπον, καὶ τοὺς ἀτιμάζειν ἐπιχειροῦντας, ἀσεβεῖς ἔκρινον, καὶ θανάτου, διὰ κολάσεως πικρᾶς, ἀξίους. Τοῦ αὐτοῦ, λόγου τρίτου.

Ὥσπερ ἂν εἴ τις εἰκόνα βασιλέως διὰ τὸ καθῆκον τῆς περὶ τὸν βασιλέα προσκυνεῖ τιμῆς, οὐδὲν οὖσαν, ἢ κηρὸν καὶ χρώματα.

Τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου, ἀναθεματισμός. ιβ'.

Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ ἀσεβοῦς τοῦ Μοψουεστίας, τοῦ εἰπόντος, ἄλλον εἶναι τὸν θεὸν λόγον, καὶ ἄλλον τὸν χριστὸν, ὑπὸ παθῶν ψυχικῶν καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ τῶν χειρόνων κατὰ μικρὸν χωριζόμενον, καὶ οὕτως ἐκ προκοπῆς ἔργων βελτιωθέντα, καὶ ἐκ πολιτείας ἀμώμου κα-

τασάντα, ὡς ψιλὸν ἄνθρωπον βαπτισθῆναι, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος λαβόντα, καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ κατὰ ἰσότητα βασιλικῆς εἰκόνος, εἰς πρόσωπον τοῦ θεοῦ λόγου προσκυνεῖσθαι, ἀνάθεμα ἔστω.

Θεοδώρου ἱστοριογράφου κωνσταντινουπόλεως, ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας, περὶ Γενναδίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως.

Ετέρα δὲ αὐτοῦ παραθήσομαι, κατὰ παλήξεως μετά. ζωγράφος τίς, τὴν εἰκόνα τοῦ δεσπότου χριστοῦ γράφων, τὼ χεῖρε ἀπέψυκτο. καὶ ἐλέγετο ὡς ὑπὸ ἕλληνός τινος τὸ ἔργον ἐπιταγὲν τῆς εἰκόνος, ἐν τῷ προσχήματι τοῦ ὀνόματος τοῦ σωτῆρος γεγράφηκεν ἐξ ἑκατέρου τὰς τρίχας τῆς κεφαλῆς διεστώσας, ὡς μὴ τὰς ὄψεις καλύπτεσθαι, τοιούτῳ γὰρ σχήματι ἑλλήνων παῖδες τὸν δία γράφουσι, πρὸς τὸ ὁρῶντας νομίζειν, τῷ σωτῆρι τὴν προσκύνησιν ἀπονέμεσθαι.

Τοῦ ἀββᾶ Μαξίμου, καὶ Θεοδοσίου ἐπισκόπου, καὶ τῶν ἀρχόντων τῶν ἀποσταλέντων παρὰ τοῦ βασιλέως.

Ο ὅσιος Μάξιμος, εἶπεν. ἐπὰν δὲ ἔδοξε ταῦτα γενέσθαι, ἔκβασις γένηται τῶν δο-

ξαύτων, καὶ ὅπου κελεύετε, ἀκολουθῶ ὑ-
μῖν. καὶ ἐπὶ τούτοις, ἀνέστησαν πάντες, καὶ
μετὰ δακρύων ἔβαλον μετάνοιαν, καὶ εὐχὴ
γέγονε. καὶ ἕκαστος αὐτῶν, τὰ ἅγια εὐαγ
γέλια, καὶ τὸν τίμιον σταυρὸν, καὶ τὴν εἰκό
να τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς
τεκούσης αὐτὸν ἁγίας θεοτόκου, ἠσπάσαντο·
τεθεικότες καὶ τὰς χεῖρας, ἐπὶ βεβαιώσει
τῆς ἀληθείας.

Τοῦ ἁγίου Σωφρονίου, ἐκ τῶν θαυμάτων τῶν
ἁγίων μαρτύρων, Κύρου καὶ Ἰωάννου, εἰς Θεό
δωρον τὸν ὑποδιάκονον ποδαγριῶντα.

Λέξωμεν δὲ λοιπὸν καὶ τὴν ἴασιν τοῦ σώ-
ματος, δι' ὀλίγων τὸν λόγον ποιούμενοι. μετ'
ὀλίγας δὲ ταύτας τὰς ἡμέρας, ἐκάθευδε,
καὶ πάλιν παρεστῶτας βλέπει τοὺς μάρτυ-
ρας, καὶ συνοδεύειν αὐτοῖς ἐπιτάττοντας.
ὁ δὲ, σφίσι προθυμότερον εἵπετο, ἤδει γὰρ
οὐκ ἀκερδὲς τὸ τοῖς ἁγίοις συνέπεσθαι. ἐλθόν
τες οὖν εἰς ναὸν ἑλλήνων, τῷ μὲν εἴδει, φοβερὸν
καὶ ὑπέρλαμπρον, τῷ δὲ ὕψει, τῶν οὐρανῶν
αὐτῶν ἐφαπτόμενον. καὶ εἴσω τούτου γενό
μενοι, μεγίστην εἰκόνα καὶ θαυμαστὴν ἐβλέ
πομεν. μέσον δὲ, τὸν δεσπότην Χριστὸν γε-
γραμμένον χρώμασιν ἔχουσαν, τὴν δέσποι
ναν θεοτόκον εὐώνυμον, καὶ δεξιὸν, Ἰωάννην

τὸν βαπτιστὴν, τὸν ἐκ κοιλίας σκιρτήμασιν αὐτὸν προμηνύσαντα, ἐπεὶ καὶ λαλῶν ἔνδον ὢν, οὐκ ἠκούετο. καὶ τινὰς τοῦ τῆς ἀποστόλων καὶ προφητῶν ἐνδόξου χοροῦ, καὶ τῆς μαρτυρικῆς ὁμηγύρεως, μεθ' ὧν ἐτύγχανε Κῦρος καὶ Ἰωάννης οἱ μάρτυρες, οἱ πρὸ τῆς εἰκόνος ἱστάμενοι, τῷ δεσπότῃ προσπίπτουσι· γόνατα κάμπτοντες, καὶ τὰς κεφαλὰς εἰς ἔδαφος τύπτοντες, καὶ ὑπὲρ τῆς τοῦ νέου θεραπείας πρεσβεύοντες. ταῦτα δὲ ἦν τὰ τῆς πρεσβείας ῥήματα. δέσποτα φιλάνθρωπε, κελεύεις δῶμεν καὶ τούτῳ τὴν ἴασιν; οἱ δὲ, πολλάκις εἰς γῆν προσκυνήσαντες, καὶ τοὺς τῆς ἱκεσίας λόγους ἐκπέμψαντες, ὡς ὁ δεσπότης χριστὸς οὐκ ἐπένευσε, τοῦ πρεσβεύειν παυσάμενοι, κατηφεῖς καὶ ὀλίγωροι πρὸς ἐμέ φησι παραγίνονται, οὐ μακρὰν πολὺ τῆς εἰκόνος ἱστάμενον. καὶ πλησίον γενόμενοι, ὁρᾶς φασι πῶς ὁ δεσπότης οὐ βούλεταί σοι δοῦναι τὴν ἴασιν; ἀλλὰ μηδὲν ἀθυμήσῃς, πάντως γὰρ καὶ πρὸς σὲ ὡς πρὸς πάντας χρηστεύεται. καὶ διαναστάντες ὡσεὶ μικρὸν ἡμιώριον, καὶ πάλιν ἀπελθόντες, ἐδέοντο. καὶ πάλιν, ἄπρακτοι φησὶν ἀνακάμπτουσι, κατηφεῖς καὶ ὀλίγωροι, ὡς καὶ τὸ πρότερον, τοῦ δεσπότου χριστοῦ μὴ κελεύσαν

τος. καὶ ταῦτά μοι πάλιν ἐλθόντες εἰρήκασι. Τὸ τρίτον δὲ πορευόμενοι, θάρρει λέγουσιν, νῦν γὰρ τὴν χάριν πάντως λαμβάνομεν. ἀλλὰ καὶ σὺ, ὥσπερ ἡμᾶς ὁρᾷς ἱκετεύοντας, σὺν ἡμῖν ἐλθὼν τὸν δεσπότην ἱκέτευε. καὶ πρὸς τὴν εἰκόνα τὸ τρίτον γενόμενοι, τοῖς προλαβοῦσι τρόποις ἐχρῶντο καὶ ῥήμασι. καὶ ὡς ὥραν πολλὴν ἐδεήθησαν, καὶ κάτω κείμενοι, τὸ κελεύεις δέσποτα μόνον ἀνέκραζον, τότε ὁ χριστὸς σπλαγχνισθεὶς ὡς οἰκτίρμων, καὶ δότε αὐτῷ πρὸς τῆς εἰκόνος ἀπεφθέγξατο. καὶ χαμόθεν ἀναστάντες οἱ μάρτυρες, πρῶτον μὲν ηὐχαρίστουν χριστῷ τῷ θεῷ ἡμῶν, ὡς τῆς δεήσεως αὐτῶν ἐπακούσαντι.

Τοῦ ἁγίου Ἀναστασίου τοῦ ἁγίου ὄρους Σινᾶ, εἰς τὴν καινὴν κυριακὴν, καὶ εἰς τὸν ἀπόστολον Θωμᾶν.

Οἱ ἑωρακότες χριστὸν ἐν σαρκὶ, ὡς προφήτην αὐτὸν εἶχον, οἱ μὴ ἑωρακότες ἡμεῖς, εὐθέως ἐξ ἁπαλῶν ὀνύχων, παῖδες καὶ νεανίσκοι, θεὸν αὐτὸν, ἐξουσιαστὴν καὶ παντοκράτορα, καὶ τῶν αἰώνων ποιητὴν, καὶ ἀπαύγασμα τοῦ πατρὸς ὁμολογοῦμεν, ὡς γὰρ αὐτὸν ἐκεῖνοι βλέποντες χριστὸν λαλοῦντα, οὕτως τῶν αὐτοῦ εὐαγγελίων μετὰ πίστεως ἀκούομεν. καὶ τὸν ἄχραντον μαργαρίτην τοῦ αὐτοῦ σώματος δι-

χόμενοι, αὐτὸν ἐκεῖνον βαστάζειν τὸν χριστὸν νομίζομεν· κἂν μόνον αὐτοῦ θεῖον χαρακτῆρα ἐξεικονισμένον ἴδωμεν, ὡς ἐξ οὐρανοῦ ἡμῖν ἀτενίζοντα νομίζομεν, προσκυνοῦμεν, προσπίπτομεν, μεγάλη νῦν ἡ πίστις τοῦ χριστοῦ.

Ἐκ τοῦ βίου τοῦ ἀββᾶ Δανιὴλ, περὶ Εὐλογίου τοῦ λατόμου.

Τότε ὀλιγωρήσας, ἀπῆλθε, καὶ εἰσφασσέαυ τὸν ἔμπροσθεν τῆς εἰκόνος τῆς θεοτόκου, μετὰ κλαυθμοῦ ἔλεγε. κύριε λῦσον τὴν ἐγγύην τοῦ ἀνθρώπου τούτου ἀπ' ἐμοῦ.

Ἐκ τοῦ βίου Μαρίας τῆς αἰγυπτίας.

Κλαίουσα τοίνυν, ὁρῶ ἐπάνω τοῦ τόπου ἐν ᾧ ἱστάμην, τὴν εἰκόνα τῆς ἁγίας θεοτόκου ἑστῶσαν, καὶ φημὶ πρὸς αὐτὴν, παρθένε θεοτόκε δέσποινα, ἡ τὸν θεὸν λόγον κατὰ σάρκα γεννήσασα, οἶδα μὲν οἶδα, ὡς οὐκ ἔστιν εὐπρεπὲς οὐδὲ εὔλογον, τὴν οὕτω ῥυπαρὰν, τὴν οὕτω πανάσωτον, τὴν εἰκόνα καθορᾶν σου τῆς ἀειπαρθένου, ἀλλὰ δίκαιον ἐστὶν, ἐμὲ ὑπὸ τῆς σῆς καθαρότητος μισεῖσθαι τε καὶ βδελύττεσθαι. πλὴν, ἐπείπερ διὰ τοῦτο γέγονεν ὁ ἐκ σοῦ τεχθεὶς θεὸς, ἄνθρωπος, ὅπως καλέσῃ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, βοήθησόν μοι, τῇ μόνῃ μὴ ἐχούσῃ τινὰ βοήθειαν. ἐπίταξον κἀμοὶ συγχωρηθῆναι τὴν εἴσοδον. μὴ

στηρίσῃς με τὸ ξύλον ἰδεῖν, ἐν ᾧ κατὰ σάρκα προσεπάγη ὁ θεὸς λόγος, ὃν ἐγέννησας. ὃς τὸ αἷμα τὸ ἴδιον ὑπὲρ ἐμοῦ ἔδωκεν ἀντίλυτρον. ἐπίταξον ὦ δέσποινα, κἀμοὶ τὴν θύραν ἀνοιχθῆναι τῆς θείας τοῦ σταυροῦ προσκυνήσεως. καὶ σὲ δίδωμι τῷ ἐκ σοῦ τεχθέντι θεῷ ἐγγυητὴν ἀξιόχρεων, ὡς οὐκέτι τὴν σάρκα ταύτην ἐξυβρίσω δι' αἰσχρᾶς οἱασδήποτε μίξεως. ἀλλ' ἡνίκα τὸ ξύλον τοῦ σταυροῦ τοῦ υἱοῦ σου θεάσομαι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν εὐθέως ἀποτάσομαι, καὶ αὐτίκα ἐξέρχομαι, ὅπου ἂν αὐτὴ ὡς ἐγγυητὴς ὑποδείξῃ καὶ ὁδηγήσῃς με. ταῦτα εἰποῦσα, καὶ ὥσπερ τινα πληροφορίαν λαβοῦσα τῆς πίστεως ἔμπυρον, τῇ εὐσπλαγχνίᾳ τῆς θεοτόκου θαρρήσασα, κινῶ ἐμαυτὴν ἐξ ἐκείνου τοῦ τόπου, ἐν ᾧ ἑστῶσα ἐποιούμην τὴν δέησιν, καὶ ἔρχομαι πάλιν, καὶ τοῖς εἰσιοῦσιν ἐμαυτὴν ἐγκατέμιξα. καὶ οὐκέτι ἦν ὁ ὠθῶν με ἢ ἀντωθούμενος. καὶ οὐδεὶς ὁ κωλύων, τοῦ πλησίον γενέσθαι με τῆς θύρας, δι' ἧς εἰς τὸν οἶκον εἰσήεσαν. ἔλαβε δέ με φρίκη καὶ ἔκστασις, καὶ ὅλη δι' ὅλου ἐκλονούμην καὶ ἔτρεμον, ῥίψασα τοίνυν ἐμαυτὴν ἐπὶ τῆς γῆς, καὶ τὸ ἅγιον ἐκεῖνο προσκυνήσασα ἔδαφος, ἔτρεχον ἐξιοῦσα, καὶ πρὸς τὴν ἐγγυησαμέ-

νὴν γενέσθαι σπουδάζουσα. γίνομαι τοίνυν ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ τὸ τῆς ἐγγύης ἐπεγράφη χειρόγραφον, καὶ γόνυ κλίνασα ἔμπροσθεν τῆς ἀειπαρθένου καὶ θεοτόκου, τούτοις ἐχρησάμην τοῖς ῥήμασιν. σὺ μὲν φιλάγαθε δέσποινα, τὸ σὸν ἐπ' ἐμοὶ ἐνεδείξω φιλάνθρωπον, σὺ τῆς ἀναξίας οὐκ ἐβδελύξω τὴν δέησιν. εἶδον δόξαν, ἣν δικαίως οὐχ ὁρῶμεν οἱ ἄσωτοι. δόξα τῷ θεῷ, τῷ διὰ σοῦ δεχομένῳ τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν. καὶ τὰ ἑξῆς.

Ἐκ τοῦ βίου τῆς ἁγίας Εὐπραξίας.

Λέγει ἡ διάκονος τῷ κορασίῳ, ὕπαγε κυρία μου εἰς τὸν οἶκον σου, ὅτι οὐ δύνασαι ὧδε παραμεῖναι, οὐδὲ γὰρ δύναταί τις ὧδε παραμεῖναι, ἐὰν μὴ συντάξηται τῷ χριστῷ. λέγει αὐτῇ τὸ κοράσιον, ποῦ ἐστιν ὁ χριστός; ἡ διάκονος ἐπέδειξεν αὐτῇ τὸν δεσποτικὸν χαρακτῆρα, καὶ στραφεῖσα, λέγει τῇ διακόνῳ, ἀληθῶς κἀγὼ τῷ χριστῷ συντάσσομαι, καὶ οὐκέτι ἀπέρχομαι μετὰ τῆς κυρίας μου. καὶ πάλιν ἀναστᾶσα ἡ Εὐπραξία, καὶ λαβοῦσα τὴν θυγατέρα ἑαυτῆς, παρέστησεν εἰς τὸν δεσποτικὸν χαρακτῆρα, καὶ ἐκτείνασα τὰς χεῖρας αὐτῆς εἰς τὸν οὐρανὸν, ἐβόησε μετὰ κλαυθμοῦ. κύριε Ἰησοῦ χριστὲ, σὺ ἐπιμελήσει περὶ τοῦ παιδίου,

ὅπη σὲ ἐπόθησεν, καὶ σοὶ παρέθετο ἑαυτήν.

Τῆς ἁγίας ἕκτης συνόδου τῆς ἐπὶ Ἰουστινιανοῦ, ἤτοι τῆς ἁγίας πέμπτης συνόδου.

Ἐν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς, ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνόν, χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιάς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεχόμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφωμεν, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνόν, χριστὸν τὸν θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν, ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν. διὰ τῆς ταπεινώσεως, τὸ ὕψος τοῦ θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας καὶ τοῦ πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

Τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου πατάρων, περὶ ἀναστάσεως, λόγ. β'.

Αὐτίκα γοῦν τῶν τῇδε βασιλέων αἱ εἰκόνες, κἂν μὴ ἀπὸ τῆς πολὺ τιμιωτέρας χρυσοῦ τε καὶ ἀργύρου ὦσι κατεσκευασμέναι, τιμὴν ἔχουσι παρὰ ἁπάντων. οὐ γὰρ τὰς μὲν ἀπὸ τῆς πολὺ τιμιωτέρας ὕλης θεραπεύοντες οἱ ἄνθρωποι, ἐξουθενοῦσιν τὰς ἐξ ἀτιμοτέρας, ἀλλὰ πάσας ἐπὶ γῆς τιμῶσιν, εἰ καὶ ἀπὸ γύψου, ἢ χαλκοῦ ὑπάρχουσι. καὶ ὁ δυσφημήσας εἰς ὁποτέραν, οὔτε ὡς εἰς πηλὸν ἀφίεται, οὔτε ὡς χρυσὸν ἐξευτελίσας, κρίνεται, ἀλλ' ὡς εἰς αὐτὸν ἀσεβήσας τὸν βασιλέα καὶ κύριον. τὰς μὲν ἀπὸ χρυσοῦ κατεσκευασμένας εἰκόνας τῶν αὐτοῦ ἀγγέλων τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, εἰς τιμὴν καὶ δόξαν αὐτοῦ ποιοῦμεν.

Τέλος τοῦ τρίτου λόγου περὶ τῶν ἁγίων εἰκόνων Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου ἡγουμένου τῆς στουδίου δογματικὴ, περὶ τιμῆς καὶ προσκυνήσεως τῶν ἁγίων εἰκόνων.

Ἀδελφοὶ καὶ πατέρες, χθὲς ἐπει-
δὴ ἑορτάσαμεν τὴν μνήμην τοῦ
α προδρόμου, συνεισῆλθεν ἡμῖν
πάντως καὶ ἡ μνήμη τῆς ἐν τῷ μο-
ναστηρίῳ διαγωγῆς, πῶς μὲν ἦμεν
τηνικαῦτα πάντες ὁμοῦ ἐν τῷ οἴκῳ τοῦ θεοῦ,
πορευόμενοι ἐν ὁμονοίᾳ, πῶς δὲ νῦν ἐσμὲν διε-
σπαρμένοι ἄλλος ἀλλαχοῦ, κατὰ διαφόρους τό-
πους καὶ χώρας. ἀλλ᾽ ὅτι διὰ τὸν λόγον τοῦ
θεοῦ ἡ διασπορὰ, χαίρειν ὀφείλομεν κατὰ τὴν
κελεύουσαν ἐντολήν. χαίρετε γάρ φησι καὶ ἀγαλ- Ματ.ε
λιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρα-
νοῖς. ἔπειτα ὅτι καὶ ὁμοιούμεθα τῷ δεσπότῃ,
εἰρηκότι. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Ιωάν.ιε
εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρή-
σουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ
τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.
ἐπ᾽ ἀληθείας γὰρ, ὥσπερ οἱ Ἰουδαῖοι οὐκ οἴδα-
σι τὸν πατέρα, μὴ τὸν υἱὸν προσδεχόμενοι, οὕτως
καὶ οἱ εἰκονομάχοι, οὐκ ἴσασι τὸν χριστὸν, μὴ τὴν εἰκό-

ναχωὖ τοῦ προσιέμενοι. καὶ ἡ μὲν ἀλήθεια, ἐμφα-
νής. οἱ δὲ συνιόντες, εἷς ἀπὸ χιλίων. ὁρᾶτε δὲ αὐ-
τῶν τὸ πονηρὸν φρόνημα, διχῶς διαιρούμενον,
τῇ μὲν, εἰς τὸ μηδόλως ἀναστηλοῦν τὴν εἰκόνα
χριστοῦ, τῇ δὲ, εἰς τὸ ἀναστηλοῦν μὲν, ἴσως δὲ
τοῖς κατὰ πόλεμον, καὶ θήραν ἱστορουμένοις. κα-
θὸ φασὶν, οὐδὲ δεῖν αὐτὴν προσκυνεῖσθαι, ὅτι
μηδὲ ἵππου, ἢ βοὸς, ἢ κυνὸς, ἢ λέοντος, ἢ παρδά-
λεως, ἢ ὄφεως, ἢ πετεινοῦ, ἢ ἰχθύος εἰκὼν προσκε-
κύνηται. ἐφ' οἷς, τίς ἔχων αἴσθησιν, οὐ στενάξει;
τίς δὲ οὐ καταγάγει δάκρυα; ὅτι τὴν εἰκόνα χρι-
στοῦ, ἣν αἰδοῦνται μὲν ἄγγελοι, φρίσσουσι δὲ δαί-
μονες, οὐκ ἐρυθριῶσι, θηρίοις τε καὶ τετραπόδοις,
ἑρπετοῖς καὶ πετεινοῖς καὶ ἀλλοίοις συντάσσειν
καὶ συνατιμάζειν; ὢ φοβεροῦ ἐννοήματος. καὶ
φοβερωτέρου τολμήματος. εἶτα τί; τὴν μὲν
εἰκόνα τοῦ ἀνθρώπου, ἄνθρωπον ὀνομάζουσι. καὶ
τὴν τοῦ βοὸς, βοῦν. καὶ τὴν τοῦ ὄνου, ὄνον. καὶ
τὴν τῆς καμήλου, κάμηλον. καὶ τὴν τῆς πέρ-
δικος, πέρδικα. καὶ τῶν ἄλλων ὁμοειδῶν τε καὶ
ἑτεροειδῶν ὡσαύτως, εἴτε ζώων, εἴτε φυτῶν.
χριστοῦ δὲ, ἢ τῆς θεοτόκου, ἢ τινος οὖν τῶν ἁγίων,
οὐδαμῶς. οὔτε κατὰ τὸ πρωτότυπον, οὔτε κα-
τὰ τὸ πρόσωπον ὀνομάζειν ἀνέχονται, ἀλλὰ ἁ-
πλῶς εἰκόνας φασὶ, τὸ τίνος μὴ προστιθέντες,
ὡς ἂν μὴ ἐντεῦθεν ἐλεγχθῶσιν. οὕτως εἰσὶν ἀλο-

γίας τε καὶ βλασφημίας ἐπίμεστοι. ὑμεῖς δὲ ἀδελφοί, χαλάσατε, καὶ γνῶτε ἔτι πρὸς τοῖς εἰρημένοις παρά τε τῶν ἁγίων πατέρων ἡμῶν, καὶ ἡμῶν τῶν ταπεινῶν, ὅτι εἰ οἱ τόποι ἐφ' οὓς χριστὸς ἐγεννήθη, ἅγιοί τε καὶ προσκυνητοί εἰσί τε καὶ ὀνομάζονται, κἄν τις ἐκεῖθεν χοῦν λάβοι, ἢ λίθον, περιέπει ὡς κειμήλιον ἱερὸν, πόσῳ γε μᾶλλον, τὴν εἰκόνα χριστοῦ τιμητέον, καὶ προσκυνητέον; ἐφ' ἧ ὡς ἐν ἐσόπτρῳ αὐτός ἐστιν ὁ ἐκφαινόμενός τε καὶ προσκυνούμενος; φύσις γὰρ αὕτη εἰκόνος, τὸ ἐξεικονιζόμενον κατ' εἶδος φέρειν. Μανθάνω δὲ ὅτι ἐν Ῥώμῃ, καὶ τὰς κλεῖς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, διὰ τιμῆς ἄγουσιν, καίτοι γε ὁ κύριος, οὐ κλεῖς αὐτῷ δίδωσιν αἰσθητὰς, ἀλλὰ τὰς διὰ λόγου, εἰς τὸ δεσμεῖν καὶ λύειν, οἱ δὲ, ἀργυρᾶς πεποιηκότες, ταύτας προστιθέασιν εἰς προσκύνησιν. τοσαύτη οὖν αὐτῶν ἡ πίστις. κἀκεῖ ἡ ἀρραγὴς πέτρα τῆς πίστεως, τεθεμελιωμένη κατὰ τὸν λόγον τοῦ κυρίου, ἐνταῦθα δὲ ὡς ἔοικε πλεονάζουσα ἡ ἀπιστία καὶ ἡ ἀνομία. διὰ τοῦτο ὁ ταπεινὸς ἐγὼ, ἀλγεινόμενος τὴν καρδίαν, καὶ δεδιὼς τὸ τῆς σιωπῆς κρῖμα, ἐξ ἀναγκαίου φθέγγομαι, ἃ φθέγγομαι βραχέα καὶ ὀλιγοστά. εἰ γὰρ οἱ ἑτερόδοξοι, οὐ παύονται ἰδίᾳ τε καὶ δημοσίᾳ, ἐγγράφως τε καὶ ἀγράφως, γλῶσσαν βλάσφημον κινεῖν κατὰ χριστοῦ, ἡμεῖς δὲ οἱ οἶκοι

καθήμενοι, μὴ ὁμιλήσωμεν πρὸς ἀλλήλους τὰ προσήκοντα, καὶ πῶς οἴσομεν τὴν ὀργὴν κυρίου; πῶς δὲ μιμησόμεθα τοὺς πατέρας ἡμῶν; οἳ ἐν τοῖς ὁμοίοις καιροῖς, τὸ ἀποσιωπᾶν καὶ ὑποστέλλεσθαι, προδοσίαν ἀληθείας ἔφασαν εἶναι; οὐκοῦν, λαλητέον, καὶ ἀκουστέον, καὶ προσεκτέον λόγῳ τε καὶ ἔργῳ. καὶ γὰρ οἱ μακάριοι ἀπόστολοι, οὐ τῷ θείῳ κηρύγματι μόνον, ἀλλὰ καὶ τῷ ἀλήπτῳ βίῳ περιεγένοντο τῆς οἰκουμένης, φωτίζοντες τοὺς ἐσκοτισμένους, ἁλίζοντες τοὺς μεμωραμένους, πῆραν, καὶ ῥάβδον μόνον ἐπιφερόμενοι. οὓς μιμούμενοι ἀδελφοί, κατ' ἀμφότερα εὐδοκιμῶμεν, ἀρκούμενοι τοῖς παροῦσι, μὴ φιλαργυροῦντες, ἀλλὰ ἀκτημονοῦντες. ταῦτα δὲ οὐ δι' ὑμᾶς, ἀλλὰ διὰ τοὺς πόρρωθεν εἴρηται, ποιούμενοι προόδους παρὰ καιρόν. μὴ συναυλιζόμενοι γυναιξὶν, ἐξ ὧν ὁ θάνατος. καί τε, εἰ οὕτως ἀναστρεφόμεθα, δοξασθήσεται ὁ θεὸς ἐν ἡμῖν, μεγαλυνθήσεται ἡ προκειμένη ὁμολογία, αἰδεσθήσονται καὶ οἱ ἐναντίοι ὅσον οὖν, πρὸς ἐπιστροφήν. εἰ δὲ μὴ οὕτως, δέος μὴ ἀντὶ μακαρισμοῦ, κατάκριμα ἀπενεγκοίμεθα αἰώνιον. αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης, ὁ μεταποιῶν πάντα, καὶ μετασκευάζων πρὸς τὸ βέλτιστον, εἰρηνεύσειε τὴν ἐκκλησίαν αὐτοῦ, ἡμᾶς δὲ συνετήσειε, καὶ πάντας σώσειεν εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον. ἐν χρι

σωτῆρι Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ, συγγραφεὶς παρὰ Ἰωάννου Πατριάρχου Ἱεροσολύμων.

ΤΟΙΣ τετηρηκόσι τὸ κατ᾽ εἰκόνα Θεοῦ ἀρρύπωτον καὶ ἀδιάλωβητον, διηρθρωμένον τε καὶ ὡς ἀρχῆθεν εὖ ἔχον, ἢ καὶ διαχυθὲν πολλάκις ἢ ῥυπωθὲν ἀνακαλεσαμένοις, εἰς τιμὴν ποιεῖσθαι εἰώθασιν ἄνθρωποι τὰ θεῖα τούτων μορφώματα καὶ διατυπώματα, ὅσοι δὲ φιλοτιμότερον τὸ σέβας ἐνδείκνυνται, καὶ ἡ χεὶρ αὐτοῖς σὺν τῷ πλουτεῖν μεγαλοπρεπῶς περιφανεστέραις ταῖς ὕλαις κέχρηται καὶ λαμπραῖς, καὶ ταύταις τοὺς τού-

τῶν χαρακτῆρας ἐντυποῦσι, μείζω τὴν τιμὴν ἐντεῦθεν ἀφοσιοῦσθαι τοῖς ἁγίοις οἰόμενοι. εἰ γοῦν περὶ τὴν ἐκείνων μορφὴν οὕτω τὸ λαμπρὸν ἐπιδεικνύουσι, τί ἄρα δέον περὶ τὰς ἱστορίας τῶν πράξεων, ἠμελημένους ἐᾶν τοὺς λόγους καὶ ἀκαλλεῖς; οὐ μένουσι. τοῖς γὰρ ἀγροικοτέροις, συγγνώμη, ὡς ἔχουσι καὶ διάξουσι λόγους, τὰς πράξεις ἐξιστοροῦντας τῶν εὐαρεστησάντων Χριστῷ. οἷς δὲ λόγος τὸ σπουδαζόμενον γέγονεν, οὐ συγγνωστέον, βίους ἁγίων παρεωραμένοις, ἐσχεδιασμένους ὡς ἔτυχε, καὶ μᾶλλον αἰδεσθεῖσι τοιούτων, οἷς πνοὴ καὶ ζωὴ τοῖς λόγοις ἐπαγρυπνεῖν ἐχρημάτισε, καὶ λόγῳ κεκαθαρμένοις, τὸν νοῦν μὲν, ἐξ ἀγνοίας καὶ λήθης, τὴν δὲ ψυχὴν, ἐξ ἐμπαθοῦς ἁπάσης κινήσεως. καὶ παρ᾽ ὧν κατακεκόσμηται τὸ περίγειον, καὶ ἅπας διαπεφώτισται νοῦς, λόγοις, εἰς οὓς ἐκεῖνοι ἐπόνησαν, οὐ τῆς θύραθεν σοφίας τὴν χάριν μόνην ἔχουσιν, ἀλλὰ καὶ τὸ τοῦ παρακλήτου φῶς, δαψιλὲς ἀποπέμπουσι. τούτων εἷς καὶ τῶν ἐν τοῖς πρώτοις τεταγμένων, ἐστὶν ὁ πολὺς Ἰωάννης. ᾧ τὸ ἐπώνυμον, ἐκ τῆς ἰδίας πατρίδος τῆς Δαμασκοῦ πόλεως, ἐπισυνῆπται περιφανῶς. οὗτος γὰρ, οὐκ ἐλάσσων φωστὴρ τοῦ ἐκκλησιαστικοῦ στερεώματος ἐχρημάτισεν, ἀλλὰ καὶ πάμμεγας καὶ λαμπρότατος. οὐκ ἐν νυκτὶ φαίνων μόνον αἰ-

ῥέσεως διεσκεδασμένης ἁπανταχοῦ, ἀλλὰ καὶ λύων πᾶσαν νύκτα κακόδοξον, ταῖς τῶν λόγων ἐπιστολαῖς. νὺξ μὲν γὰρ διεσκέδαστο πανταχοῦ τῆς οἰκουμένης, ἀμαυροῦσα τοὺς λαμπροὺς χαρακτῆρας τῶν σεβασμίων εἰκόνων, καὶ βαθεῖα ἦν ἡ σκοτόμαινα. ὁ δὲ ταύτην διαχέων τε καὶ ποιούμενος, οὐχ ὁ τυχὼν ἐτύγχανεν ἄνθρωπος, ἵνα καὶ παρὰ μέρος τῆς οἰκουμένης διασπείρῃ τὸ κακὸν, ἀλλ' ἀνὴρ ἐκεῖνος ἐν χερσὶ κατέχων, ἵν' οὕτως εἴπω, τῆς οἰκουμένης τὰ πέρατα, διὰ τὸ τὴν σκηπτουχίαν ἐπέχειν τῆς τῶν Ῥωμαίων ἀρχῆς. ἐντεῦθεν καὶ πολὺς ἦν ὁ πνέων ἁπανταχοῦ, καὶ βίᾳ πολλῇ τὰ σεβάσμια καθαιρούμενος ἐκτυπώματα, καὶ τοὺς σεβομένους αὐτὰ, οὓς μὲν κατάβρωμα ἐποιήσατο ὁ λεοντώνυμός τε καὶ λεοντόγνωμος, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος, οὓς δὲ τῶν ὀρθοδόξων, ἄλλον ἀλλαχόσε διέσπειρε τῷ βρυχήματι, καὶ ὑπὸ γαίης μυχοῖς ἀνέπεισε κρύπτεσθαι. καὶ πολλοὶ λέουσι συνοικεῖν καὶ δράκουσιν ᾑρετίσαντο, ἢ τὴν συναυλίαν ποιεῖσθαι μετ' ἐκείνου, καὶ τῆς ἐκείνου θεραπείας. ἄλλοι τῷ φόβῳ, εἰς τὰ μακρὰ τῆς οἰκουμένης ἀπέτρεχον τέρματα. Λέων γὰρ βρύξεται, καὶ τίς οὐ φοβηθήσεται; καὶ αὐτὸν ἀπέφυγον ὡς ἐκ προσώπου ὄφεως. ὁ δὲ χαριτώνυμος οὗτος ἀνὴρ, καὶ πλήρης πνευματικῆς

χάριτος, τῷ θυμῷ ζέσας κατὰ μόνου τοῦ ὄφεως, ἵνα καὶ ζῆλος εἴη καὶ ἀρετὴ ὁ θυμὸς, οὐ τὴν Θρᾴκην τὸ πρὶν οἰκῶν εἰς σαυρομάτας ἀπέξεχεν, οὐδ᾽ ἐκ τῆς Βύζαντος εἰς ἡρακλείοιο στήλας ἀπέφυγεν, οὔτε μὴν δὲ ἀνακτόρων εἰς ἐρήμους διέβαινε διὰ τὸν τοῦ λέοντος βρυχηθμὸν, ἀλλ᾽ ἐν Δαμασκῷ τὸ πρότερον, ἐν παλαιστίνῃ δὲ δεύτερον ποιούμενος τὰς διατριβὰς, καὶ ἐν ἐρήμῳ τὸ πρῶτον ἀσκούμενος, αὐτίκα παλαμᾶται πρὸς τὸν λέοντα γενναιότατα. καὶ τὴν καρδίαν ἐκείνου ἐκ τηλικούτου διαστήματος, λόγοις χαλκευθεῖσι τῷ τοῦ παρακλήτου πυρὶ, καὶ στομωθεῖσι τῷ ζωηρῷ ὕδατι, ὡς τειλύγχοις δόρασιν ὁ ἐμὸς διέπειρε τειχεσιβλής. ἀλλὰ ταῦτα μὲν, ἐν τῷ καθήκοντι τόπῳ λαμπρότερον ὁ λόγος ἐμπλατυνεῖ. τούτου τοίνυν τὸν βίον ὡς ἔτυχεν ἐσχεδιασμένον ἀγροίκως παρορατέον, μᾶλλον μὲν οὖν, διαλέκτῳ καὶ γράμμασι τοῖς ἀρραβικοῖς; οὐ μὲν οὖν. διὸ διηγητέον οἷα σὺ ἐξ ἧς εὐγενοῦς ὁ εὐθαλέστατος βλαστὸς ἀνατέθηλε, καὶ οἷοι πατέρες τοιοῦτον ἀναδεῦναι αὐχεῖ. Δαμασκὸς πόλις αὕτη ἐστίν. ὡς γὰρ ὧδε Παύλῳ μέγα φρονεῖ, πρώτη τὸν οὐρανοδρόμον ἰδοῦσα μεταθέμενον τὴν δυσσέβειαν, καὶ αὐτὴ μισοχρίστου γεγονότα φιλόχριστον, οὕτω κἀπὶ τῷ ἀνδρὶ τούτῳ ἀγερωχεῖ κόσμιόν τι καὶ σεμνὸν, οὐκ ἐξ ἑτέρωθεν ἥκοντι, οὐδ᾽ ἐξ ἑτέρας

θρησκείας μιᾷ θεμελίῳ εἰς τὴν ὀρθότομον, ἀλλ' ὡς αὐτὴ τοῦτον προσενεγκοῦσα εἰ, ὅθεν καὶ μαιεύσασα πλέον τὰ πρὸς εὐσέβειαν, ἢ τὴν σωματικὴν ὕπαρξιν, καὶ τοῖς λόγοις ἐκθρέψασα, μέγα κομπάζει ἐπὶ τῷ οἰκείῳ βλαστῷ. βρενθύεταί τε καὶ γάννυται πλέον ἐπ' αὐτῷ, ἢ ἐφ' οἷς ἄλλοις ἔχει λαμπροῖς πρὸς περιφάνειαν. κἂν ἀέρων εὐκρασίας ὀρεῖς, κἂν ὑδάτων γλυκέων καὶ διειδῶν ἐπιρροίας, οἷς πολλοῖς κατακλύζεται. οὐ καρπῶν εὐγενῶν δαψίλεια τὴν πόλιν ταύτην ἐπαίρει καὶ αὐχεῖ, ὡς τὸ ἐκ ταύτης ἀναθηλῦσαν τὸ καλὸν τοῦτο δένδρον καὶ εὐγενές, τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων ἐκφράσει, καὶ τοὺς καρποὺς ἀποδιδοὺς τοῦ πνεύματος κατὰ καιρόν. οὗ οἱ καρποὶ διὰ παντὸς νεαροί τινές εἰσι παρ' ἡμῖν καὶ ὡραῖοι τοῦ ἰδεῖν, καὶ γλυκεῖς εἰς τὸ γεύσασθαι. καὶ τοὺς ἀπτομένους καὶ γευομένους, οὐκ εὐφραίνουσι μόνον, ἀλλὰ δὴ καὶ πιαίνουσί τε καὶ αὔξουσι τὸν ἐσθίοντα, καὶ εἰς ἄνδρα τέλειον τὸν ἐν πνεύματι ἀνάγουσί τε καὶ τελειοῦσιν. οὕτω δεδόξασται καὶ ἡ πόλις Δαμασκὸς ἐπὶ τούτῳ αὐτῆς τῷ γεννήματι, ἢ ἐπὶ τοῖς ἄλλοις ἅπασιν οἷς πεπλούτηκεν ἀγαθοῖς καὶ τερπνοῖς. αὕτη μὲν ἡ ἐνεγκαμένη τὸν ἄνδρα τοῦτον. Πρόγονοι δ' εὐσεβεῖς, καὶ μόνοι τετηρηκότες τὴν τῆς εὐσεβείας αὐγὴν, καὶ τὴν ὀσμὴν τῆς τοῦ χριστοῦ γνώ-

σεως ἐν μέσῳ τῶν ἀκανθῶν. οὗτοι γὰρ μόνοι διεσώσαντο τὴν χριστεπώνυμον κλῆσιν, ὡς κλῆρον λαμπρόν τε καὶ ἀναφαίρετον, μηδὲν λυμηνάμενοι τὸ ὀρθόδοξον, ἀφ' οὗ περ οἱ τῆς ἄγαρ τῆς πόλεως κατεκράτησαν. ἔνθεν τοι ἡ ἀρετὴ αὐτοὺς ἐπισήμους πεποίηκεν ἐν μέσοις τοῖς ἀσεβέσιν, ὡς αἰδουμένων ταύτην καὶ τῶν πολεμίων αὐτῆς.

Δαν. ς'. ἢ μᾶλλον ὡς Δανιὴλ ἐδόξασε θεὸς παρὰ τοῖς
γεν. μα. ἀσσυρίοις, δι' ἣν εὐσέβειαν ἐνεδείξατο, καὶ Ἰωσὴφ
ἐν Αἰγύπτῳ, ἐπὶ τόποις καὶ κυρίοις ἐν ἀλλοτρίοις καὶ ἐχθροῖς τῶν αἰχμαλώτοις καταστησάμενος, οὕτω κἀνταῦθα τῶν τοῦ Ἰωάννου προπάτορας, πραγμάτων καθίστησιν ἐπιτρόπους ἐν αὐτοῖς τοῖς σαρακηνοῖς. καὶ κρατοῦσι κἀνταῦθα οἱ εὐσεβοῦντες αἰχμάλωτοι, τῶν αἰχμαλωτισάντων αὐτοὺς ἀσεβῶν. ὢ θαυμασίων θεοῦ μεγάλων καὶ τεραστίων τῶν ἐξαισίων. οὐδὲν ἀρετῆς ὑψηλότερον, οὐδὲν εὐσεβείας ἐστὶ τιμιώτερον, ἢ μετεωρότερον. ὡς γὰρ σημαία τοῦ ἔθνους, μᾶλλον δ' ὡς λύχνος ἐν νυκτὶ, καὶ ὥσπερ σπέρμα τῷ Ἰσραὴλ, καὶ οἷον σπινθὴρ ἐν σποδιᾷ, τὸ τῶν προπατόρων γένος τοῦ Ἰωάννου ἐν Δαμασκῷ καταλέλειπται, ἵνα τὸν λαμπρὸν ἐκεῖνον προενέγκῃ πυρσὸν, ὃ διαφωτίσῃ πάντα τὰ πέρατα. τοιοῦτοι μὲν τῷ εὐφημουμένῳ ὑπῆρξαν οἱ προπάτορες. ὁ πατὴρ δὲ, ὡς ἐξ ἀγαθῆς τοιαύτης ῥίζα

δοθεὶς, ἐπ' εὐσεβείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς
τοὺς τεκόντας ὑπερβαλλέσθαι φιλονεικοῦ, μεί-
ζω καὶ τὴν θεοφίλειαν ἐπεδείξατο. ἔδει γὰρ τῷ
οὕτω λαμπρῷ καὶ εἰς ἄκραν ἀρετῆς περιωπὴν
προφθακέναι μέλλοντι, τὸν προσεχέστερον τῆς γε-
νέσεως αἴτιον, περιφανέστερον τοῦ προτοῦ γενέ-
σθαι. ἵν' ὥσπερ ἐκ τῆς καθ' εἱρμὸν προβάσεως, ἡ
πρὸς τὸ ὕψος ἀναδρομὴ γένηται κατὰ λόγον εὔ-
τακτον, ὡς δόξαι παρὰ τῆς θείας προνοίας, ἄ-
νωθεν οἰκονομεῖσθαι τὰ κατὰ τὸν μέγαν ἐκεῖνον
καὶ μεγαλώνυμον, οἷον ἄρα συμβέβηκε κἀπὶ τοῦ
βαπτιστοῦ Ἰωάννου. ἐπεὶ γὰρ μείζων τῶν πρὸ τούτου
προφητῶν ἀναλάμψειν ἔμελλε, καὶ πάσης ἱε-
ρωσύνης ἐπέκεινα ἐνεργῆσαι μυστήριον, τὸ τοῦ δε-
σπότου μου βάπτισμα, ὑπὸ τῆς προνοίας προῳ-
κονόμηται οὐκ ἐκ τῶν τυχόντων προβήσεσθαι, ἐξ ἱε-
ρατικῆς δὲ φυλῆς, καὶ προφήτην εἶναι τὸν φύ-
σαντα, οὕτω κἀνταῦθα ὁ τοῦ Ἰωάννου πατὴρ,
ἀνὴρ ὑπὸ τῆς προνοίας τάττεται τὰ μάλιστα
εὐσεβὴς καὶ φιλάνθρωπος. διοικητὴς γὰρ τῶν δη-
μοσίων πραγμάτων τῶν ἀνὰ τὴν χώραν πᾶσαν
καταστὰς, διὰ τὸ περιὸν αὐτῷ τῆς τε ἀρετῆς καὶ
τῆς ἄλλης τοῦ βίου περιφανείας, καὶ ἐφ' οἷς ἐκό-
μα πλούτῳ συχνῷ, οὐκ εἰς κώμους καὶ μέθας
καὶ δαπάνας ἀκαίρους ἐχρῆτο τοῖς χρήμασιν,
ἀλλ' ὅσον ἐν χρυσῷ ἦν αὐτῷ καὶ ὕλαις ἑτέραις

ῥᾷστα κινουμένας, ὤνιον ἐποιεῖτο τὴν εἰς αἰχμα-
λωσίαν ἀγομένων χριστιανῶν, ἣν δ᾽ ἄλλην κτῆσιν
εἶχεν ἀκίνητον, πλείστη δὲ τούτῳ ἐτύγχανεν ἀνὰ
τὴν ἰουδαίαν καὶ παλαιστίνην, εἰς ἀνάπαυσιν ἐ-
δίδου καὶ τὴν τοῦ βίου αὐτάρκειαν τοῖς, ὅσοι τῶν
ἐξωνημένων χριστιανῶν, τὴν ἐν ἐκείνοις τοῖς τό-
ποις προῄρηντο κατοίκησιν. τοὺς δ᾽ ἄλλους, ἐ-
λευθέρῳ φωτὶ καὶ ὅποι ὅπῃ βούλοιντο συνε-
χώρει πορεύεσθαι. τοιαύτη τοῦ ἀνδρὸς ἐκείνου
ἡ φιλάνθρωπος ἀρετή. πολλὰ γὰρ ἔχων, ὡς μη-
δὲν ἐτύγχανεν ἔχων, νύκτωρ καὶ μεθ᾽ ἡμέραν τὰ
προσόντα, θεῷ ἀπεκτώμενος. οὕτως ἔχων, οὐ φι-
γεν. ιη. λοξενίας ὡς Ἀβραάμ, ἀλλὰ φιλανθρωπίας
λαμβάνει μισθόν, τόκον θαυμαστόν, εἰ καὶ μὴ
ἐξ ἐπαγγελίας, ἀλλὰ θείας προγνώσεώς τε
καὶ προορίσεως. προέγνω γὰρ ὁ θεὸς τὸν Ἰωάν-
νην ὁποῖος ἔσεται, καὶ προώρισεν ἄνωθεν ἐκ τοῦ
δὲ γεννήσεσθαι τοῦ ἀνδρός, εἰς μισθὸν αὐτῷ ἧς φι-
λανθρωπίας ποιεῖν ἐνείθιστο, εἰς τὴν ἐλευθε-
ρίαν ἀντικληρωσαμένοις αἰχμαλωσίαν δεινήν.
τίκτεται οὖν αὐτῷ παῖς, οὗτος ὁ λαμπρός, καὶ
ἁπαλῷ τῷ σώματι ἔτι, τῇ δὲ τῆς πνευματικῆς
μητρὸς ἀναγεννήσει, τέκνον φωτὸς ὁ πατὴρ τὸν
υἱὸν ἀπεργάζεται. πρᾶγμα ποιῶν, οὔτοι ῥᾷον,
οὐδ᾽ ἐν μέσοις ἐκείνοις τοῖς ἔθνεσιν εὐκατατόλ-
μητον τοῖς πολλοῖς. εἶτα φροντὶς τῷ πατρὶ περὶ

τοῦ παιδὸς, οὐκ ἐλπίζειν αὐτὸν μαθεῖν; οὐ δόρυ κινεῖν δεξιῶς, οὐκ ἐκ τόξου βάλλειν ὀϊστὸν εὐστοχώτατα, οὐ θηρίοις μάχεσθαι καὶ συναμείβειν τὴν φυσικὴν ἡμερότητα εἰς θηριώδη ὠμότητα, οἷα γίνεται τοῖς πολλοῖς ἐν θυμὸν παρατιθεμένοις συχνῶς καὶ μανιώδεις ἀτίθοισί τε πράττειν τὸν. ἐφ' οἷς οὐκ ἐζήτει τὸ τῷ τοῦ Ἰωάννου πατρὶ, χείρων ἄλλος τίς ὀρεσίτροφος, μυελοῖς ἐλάφων ἐκτρέφειν τὸν διδασκόμενον, ἀλλ' ἀνὴρ ἀνηρευνάς ὃ πᾶσαν παιδείαν ἐξησκημένος, ἐν ἐπιστήμῃ τυγχάνων λόγου παντοίου, καὶ λόγοις ἀγαθοὺς τῆς ψυχικῆς καρδίας ἐξβρυχώμενος, ἵνα καὶ τὸν αὐτοῦ παῖδα τοιούτοις ἐκθρέψῃ τοῖς ἐδωδίμοις καὶ καρυκεύμασι. καὶ τὴν ἱερὰν ἐπιθυμίαν ὁ θεὸς ἀποπληροῖ τῷ ἀνδρὶ, καὶ τῷ ζητοῦντι εὑρίσκεται ὁ ζητούμενος. ὁ δὲ τρόπος τῆς τοῦ ζητουμένου εὑρέσεως, τοιόσδε. Οἱ ἐκ Δαμασκοῦ βάρβαροι τὴν κατὰ θάλατταν ποιούμενοι ἔφοδον ὡς αὐτοῖς εἴθισο, πολλοὺς ποτὲ χριστιανοὺς ἐληΐσαντο, καὶ καταβάντες εἰς θάλασσαν ἐν πλοίοις, ἠχμαλώτευσαν αἰχμαλωσίαν πολλήν. καὶ εἰς τὴν πόλιν αὐτῶν ἀγαγόμενοι, οὓς μὲν, τοῖς ὠνουμένοις πεπράκασιν, οὓς δὲ, μαχαίρας εἵλκυσαν ποιήσασθαι παρανάλωμα. τούτοις καί τις συνανεκληρώθη ἀνὴρ, σχῆμα ἠμφιεσμένος μοναδικὸν, ἐξ Ἰταλίας ὁρμώμενος, κόσμιος τὴν ὄψιν,

κοσμιώτερος τὴν ψυχήν, καὶ τὴν κλῆσιν Κοσμᾶς. καί τις σεμνότης αὐτοῦ τῷ προσώπῳ ἐπέπρεπε, καταμηνύουσα τὴν ἐντὸς κατάστασιν. τούτου προσέπιπτον τοῖς ποσὶν οἱ ἑλκόμενοι πρὸς σφαγήν, ἐλιπάρουν ἵλεων αὐτοῖς τὸν θεὸν ποιήσασθαι, καὶ ὑπὲρ ὧν ἡμαρτήκασιν, ἄφεσιν εὑρεῖν τῷ φιλανθρώπῳ ἐπεύχεσθαι. οἱ οὖν βάρβαροι τὴν τῶν τεθνηξομένων ἐκείνων δυσωπίαν ὁρῶντες, ἣν ἐποιοῦντο πρὸς τὸν σεμνοήθη ἐκεῖνον προσιόντες, ἐπυνθάνοντο τοῦ ἀνδρὸς, τίς τε εἴη τὴν ἐν τῷ κόσμῳ ἀξίαν, καὶ ποῖος τὴν περιφάνειαν ἐν χριστιανοῖς. ὁ δὲ ἀπεκρίνατο, εἰπών. οὐδενὸς ἀξιώματος ἱερατικοῦ χρίσμα περικείμενον κέκτημαι, ἀχρεῖος δέ τις εἰμὶ μονότροπος, καὶ φιλοσοφίαν ἐξησκηκὼς οὐ μόνον τὴν καθ' ἡμᾶς καὶ φιλόθεον, ἀλλ' ἣν καὶ οἱ θύραθεν σοφοὶ συνετάξαντο. ὡς δὲ ταῦτα ἔφησε, δακρύων ὑπεπλήσθη τοὺς ὀφθαλμούς. οὐ μακρὰν δὲ ὁ τοῦ Ἰωάννου πατὴρ ἑστηκὼς, καὶ οὕτως ἐν δάκρυσι τὸν ἄνδρα ἑωρακὼς, προσεῖπε παρακαλέσων τῆς συμφορᾶς. καί φησιν. ἵνα τί ὦ ἄνθρωπε τοῦ θεοῦ τὴν τοῦ κόσμου στέρησιν ἀποκλαίεις, ὁ πάλαι τούτου ἀποταξάμενος, καὶ νεκρωθεὶς ὡς ὁρῶ ἐκ τοῦ σχήματος; καὶ ὁ μοναχὸς ἀπεκρίνατο. οὐ ταύτης τῆς ζωῆς τὴν στέρησιν ἀποδύρομαι, ἐγὼ γὰρ ὡς εἴρηκας, τῷ κόσμῳ νενέκρωμαι. τοῦτο δέ με αἰτιᾷ, ὅτι

πᾶσαν μετεῖον ἀνθρωπίνην σοφίαν, τὴν ἐγκύ-
κλιον προϋπεθέμην ὥσπερ θεμέλιον. τῇ ῥητορι-
κῇ, τὴν γλῶτταν ἐξήσκημαι. ταῖς διαλεκτικαῖς
μεθόδοις καὶ ἀποδείξεσι, τὸν λόγον πεπαίδευμαι.
τὴν ἠθικὴν μετεῖον, ὅσην ὁ σταγειρίτης καὶ ὅσην ὁ
τοῦ Ἀρίστωνος παραδέδωκε. τὰ περὶ τὴν φυσι-
κὴν θεωρίαν ἅπασαν, ὡς ἱκανὸν ἀνθρώπῳ ἐπε-
θεώρηκα. ἀριθμητικῆς δὲ τοὺς λόγους, μεμά-
θηκα. γεωμετρίαν, εἰς ἄκρον ἐξήσκημαι. ἁρμο-
λογίας δὲ μουσικῆς καὶ ἀναλογίας εὐτάκτου,
σεμνοπρεπῶς πως κατώρθωκα. ὅσα τε περὶ
τὴν οὐράνιον κίνησιν καὶ τὴν τῶν ἀστέρων περι-
φορὰν, οὐ παρέλιπον, ἵν᾽ ἐκ μεγέθους καὶ καλλο-
νῆς τῶν κτισμάτων, ἀναλόγως τῇ περὶ τούτων
μου γνώσει, καὶ τὴν περὶ τοῦ κτίστου θεωρίαν
ἀνάλογον ἔξοιμι. ὁ γὰρ βαθυτέραν τὴν τῶν κτισ-
μάτων ἐχνικῶς γνῶσιν, βαθύτερόν τε κατανοεῖ,
καὶ διὰ θαύματος ποιεῖται πλείονος τὸν ταῦ-
τα δημιουργήσαντα. ἐντεῦθεν εἰς τὰ τῆς θεο-
λογίας μετέβην μυστήρια, ἅ τε παῖδες ἑλλήνων
παρέδοσαν, καὶ ἣν οἱ καθ᾽ ἡμᾶς θεολόγοι διεσά-
φησαν ἀπλανέστατα. τούτων ἔσω μεσὸς γεγο-
νὼς, οὔπω καὶ ἄλλοις μεταδοῦναι τῆς ἐξ αὐτῶν
ὠφελείας πέφθακα, οὐδὲ παῖδας τεκεῖν διὰ φι-
λοσοφίας παρόμοιον. φιλοῦσι γὰρ ὥσπερ οἱ
πολλοὶ φυσικοὺς παῖδας τεκεῖν, ἐντεῦθεν τὴν τῆς

γένους διαδοχὴν διαμένειν οἰόμενοι, οὕτω καὶ οἱ
φιλοσοφίᾳ ἐμμελετήσαντες, τέκνα τίκτειν διὰ
φιλοσοφίας τε καὶ μυήσεως ποθοῦσιν, ἵνα τὸ
κατὰ φιλοσοφίαν γένος χρυσοῦ ἐν βίῳ μέχρι
παντὸς διασώζηται. οἱ δὲ τοῦ τόκου τούτου τοῦ
θαυμασίου παραίτιοι, ἀθάνατον κληροῦνται
τὴν εὔκλειαν. ἄλλως τε, ἐστὶ τῆς ἀγαθότητος
ἴδιον, τὸ μεταδιδόναι καὶ ἄλλοις, ὧν περ πεπλού-
τηκε χρηστῶν. ὁ γοῦν μὴ οὕτως ἔχων, μὴ δ' οὕτως
ἐθέλων, οὐκ ἐν τῷ ἀγαθῷ κεῖται ἀλλ' ἐν τῷ πο-
νηρῷ ὡς ἀπεχθείας καὶ φθόνου μεστὸς, ἐφ' οἷς
ἂν ἄλλοις μεταδοῦναι εἴ τινος συμμοιρήσειεν ἀγα-
θοῦ μὴ προθυμηθεὶς, διὸ καὶ ὃ δοκεῖ ἔχειν, αἴρε-
Ματ. κε' ται ἀπ' αὐτοῦ, ὡς τὸ τοῦ δούλου ἐκείνου τοῦ μὴ κα-
ταβαλόντος τοῖς τραπεζίταις τὸ τάλαντον.
ἐγὼ δὲ τὴν ἀγαθὴν μερίδα ἐκλέλεγμαι, καὶ σφό-
δρα ἠρούμην τῆς προσηκούσης σοφίας μοι, ἄλ-
λοις γενέσθαι μεταδοτικός. ἐπεὶ δὲ οὐκ ἔτυχον
τοῦ ποθουμένου, ἵνα τοῖς πιστοῖς ἐκείνοις δούλοις
συνταχθῶ, τοῖς τὰ τάλαντα ποιησαμένοις ἐν
διπλῷ, διὰ τῆς πρὸς ἑτέρους χρήσεως, οὔτε μὴν
τέκνον διὰ φιλοσοφίας ἀπέτεκον, καὶ ἄπειμι
ὥσαν τις εἴποι ἄπαις καὶ ἄθλιος ὡς ὁρᾷς, δά-
κρυσι κατανοῦμαι τὸ πρόσωπον, καὶ σκυθρωπά-
ζω δεινῶς. τούτων ἀκηκοὼς τῶν ῥημάτων ὁ βρ[illegible]
τιοῦ δὲ θησαυροῦ, ἀπεκρίνατο. ἔα ὦ μακάριε
ἄνθρωπε,

ἄνθρωπε, καὶ τὴν ψυχὴν παρηγόρησον. ἴσως γὰρ δώσει σοι κύριος τὰ αἰτήματα τῆς καρδίας σου. ταῦτα εἰπὼν ὁ τοῦ Ἰωάννου πατήρ, ὡς εἶχε ποδῶν, εἰς τὸν τῶν Σαρακηνῶν ἀπέτρεχεν ἄρχοντα. καὶ ποσὶν ἐκείνου προσέπιπτε, τὸν κόσμιον Κοσμᾶν ἐξαιτούμενος. καὶ τῆς αἰτήσεως, οὐκ ἐκπέπτωκε. λαμβάνει δὲ δῶρον, τὸν πολλοῦ ὄντως ἄξιον. καὶ ἀπαγαγὼν εἰς τὸν ἴδιον οἶκον, παρηγόρει τὸν ἄνδρα, καὶ τῆς μακρᾶς κακοπαθείας ἀνέψυχε. καὶ τοιαῦτα λέγων, προσέθετο. οὐκ εἶ μόνον ἐλεύθερος τοῦ λοιποῦ, ἀλλὰ καὶ κοινωνόν σε τοῦ οἴκου μου τίθημι, καὶ συνδεσπότην κατ' ἐμέ, συμμέτοχόν μοι πάσης χαρᾶς τε καὶ θλίψεως. τοῦτο δὲ μόνον πρὸς τῆς σῆς αἰτῶ τιμιότητος, ἵνα τοῦτον δή μοι τὸν ἐκ φύσεως υἱὸν Ἰωάννην, καὶ τοῦτον δῆτα τὸν ἕτερον τὸν ὁμωνυμοῦντά σοι, ὃν καὶ εἰς υἱὸν εἰσεποιησάμην πνευματικόν, Ἱεροσολύμων ὁρμώμενον, καὶ ἐφ' ἁπαλῷ ἀπορφανισθέντα τῷ σώματι, πᾶσαν ἣν οἶδας παιδείαν, καὶ φιλοσοφίαν τὴν θύραθεν, καὶ ἣν ἡ τοῦ πνεύματος χάρις τοὺς ἀξίους ἐμυσταγώγησεν, ἐκπαιδεύσῃς καὶ διδάξῃς ἐπιμελέστατα. ὁ δὲ φιλόσοφος πρὸς ἅπερ ἀκήκοεν, ἵππος ἦν εὐθὺς δεσμὸν ἀπορρήξας, καὶ κροαίνων κατὰ πεδίον. ἢ ἔλαφος τις διψῶσα, καὶ πρὸς πηγὰς ὑδάτων ἐκπετομένη. εἶπεν αὖ αὐτὸν

οἱόν τινα Μίδαν, μεγάλοις ἐντετυχηκέναι τοῖς θησαυροῖς τοῦ χρυσοῦ. τοιοῦτον ἔχων πρὸς τὸ πρᾶγμα τὸ πρόθυμον, τοὺς νέους ἀναλαμβάνεται, καὶ καθίσταται τούτοιν διδάσκαλος. ὁ δὲ Ἰωάννης, ἀετὸς ἦν ἀέρα διαπετώμενος, ὡς τῇ ὀρύξι χρώμενος εὐφυΐᾳ φύσεως καὶ σπουδῇ πειράσεως. ὁ δὲ κατὰ πνεῦμα τούτου ἀδελφὸς καὶ συμμύστης αὐτοῦ Κοσμᾶς, ναῦς ἦν ἱστίοις τῇ ὀρυσομένη καθ' ὑδάτων, τῷ πνεύματι ἐξουρίας τε πνέοντι, καὶ ζεφυρωθεὶς ἀπὸ πρύμνης φυσῶντι. οὕτως τάχει φύσεως καὶ σπουδῆς συντονίᾳ, διὰ βραχέων συνελέγη τούτοις ἅπαν σπουδαιότατον μάθημα, ὅσον γραμματικῆς, ὅσον διαλεκτικῆς τε καὶ ἀποδεικτικῆς. τῇ δ' ἠθικῇ φιλοσοφίᾳ, οὐ τὸν νοῦν μόνον ἐκόσμουν διὰ τῆς κατὰ ταύτην μαθήσεως, ἀλλὰ καὶ τὸ τῆς ψυχῆς ταραχῶδες κατέστελλον. καὶ ὡς ἀετὸς δὲ βλέπων ὀξὺ, οὕτως ἦσαν ἐκεῖνοι πρὸς τοὺς τῶν φύσεων λόγους ἀσκαρδαμυκτὶ ἀτενίζοντες. ἀναλογίας δὲ καὶ ἀριθμητικὰς, οὕτως ἐξησκήκασιν εὐφυῶς, ὡς Πυθαγόραι ἢ Διοφάνται. γεωμετρίας δὲ τὴν ἀπόδειξιν, οὕτως ἐξεπαιδεύθησαν, ὡς Εὐκλείδας τινὰς τούτους δοκεῖν, καὶ εἴ τινες ἄλλοι παρόμοιοι. περὶ δὲ τὴν ἁρμονικὴν τοιοῦτοι γεγόνασιν, ὁποῖοι ἄρα ἐξ ὧν ἐμουσούργησαν θείων μελισμάτων τοῖς συνετοῖς κατα-

φαίνονται. περὶ δὲ ἀστρονομίας, ὅσον ἐν διαστή-
μασι καὶ σχηματισμοῖς καὶ ἀναλογίαις τῶν ἀπο-
στάσεων, κἂν μικρὰ διεξῆλθε περὶ αὐτῶν εἰς βρα-
χεῖαν τῆς ἰδιωτῆς εἴδησιν, οἷος ὁ Ἰωάννης, ἐξ ὧν
γέγραφε καταφαίνεται. τοιοῦτος δὴ πάντως
καὶ ὁ Κοσμᾶς. ἀλλ' ὁ περὶ τούτου λόγος, ἑτέροις
κείσθω, ὁ Ἰωάννης γὰρ ἡμῖν τῶν ἐγκωμίων ὑπό-
θεσις. τῶν δ' ἐν θεολογίαις αὐτοῦ καὶ ἀκριβείαις
δογμάτων, τίς οὐκ ἐπιγνώσεται καὶ θαυμάσε-
ται, ἐκ τῆς στοιχειωτικῆς αὐτοῦ βίβλου; μᾶλ-
λον δὲ, παντελείου ἐν δόγμασιν; ἥν, ἄν τις παν-
τὸς λόγου ὀρθοῦ νομοθεσίαν ἐρεῖ, καὶ πλάκας
μωσαϊκάς, οὐχ ἁμαρτήσει τοῦ ἀληθοῦς. ἀλλ' οἶ-
δα ὡς ἐν τοῖς ἔμπροσθεν ἔδει μοι τὰ τῆς βίβλου
ἐκείνης ποιεῖσθαι ἐγκώμια, καὶ οὐκ ἐν τοῖς νῦν,
ἀλλ' εἰρήκαμεν ταῦτα πρὸς ἀπόδειξιν, ἧς ἐπαι-
δεύθη παιδείας, καὶ ὅπως ταύτην μετείη ἅ-
πασαν μετ' ἐπιστήμης καὶ ἀκριβείας. καὶ οὐ θαυ-
μαστόν, ὅτι οὐκ ἐφυσιώθη τῇ γνώσει. ἀλλ' ὥσπερ
τὰ τῶν φυτῶν εὐγενῆ βλαστήματα, ἐπιπληθύ-
νοντι τῷ καρπῷ βαρυνόμενα, κάτω νεύει πρὸς
τὴν γῆν, οὕτω δὴ καὶ ὁ πολὺς Ἰωάννης, ἐπιπλη-
θυνομένης αὐτῷ τῆς τῶν λόγων ἐπικαρπίας, κά-
τω νεύων ἐτύγχανεν. οὐ πρὸς γῆν δὲ, ἀλλὰ πρὸς
τὸ βυθιώτερον τοῦ κατὰ φιλοσοφίαν πελάγους
ἀποσκοπῶν, ἔτι ἐπὶ πλέον αὐτῷ ὡς μετά τινος

πλοίου τῆς κοσμικῆς προσπαθείας, ἐπόθει δὲ
καὶ τὸ πλοῖον αὐτὸ τοῦ κόσμου ἀποσκευάσα-
σθαι, καὶ τὰ ἱμάτια τῆς σωματικῆς προσπα-
θείας τέλεον ἀπεκδύσασθαι, καὶ οὕτω γυμνῷ
τῷ νοῒ τὸ πέλαγος διανήξασθαι καὶ εἰσδῦναι
κατὰ βυθοῦ, ἵνα εὑρήσῃ τὸν ἀποκείμενον ἐκεῖ
μαργαρίτην τὸν πολύτιμον. Τοῦτο τοίνυν πο-
θῶν καὶ πρὸς αὐτὸ ἀποσκοπούμενος, πρὸς τὸν
πυθμένα τοῦ βάθους ἀποκλινόμενος ἦν, καὶ οὐκ
ἐφυσιοῦτο τῇ γνώσει, ἀλλ' ἐταπεινοῦτο τῷ ἔρω-
τι τῆς μυστικωτέρας σοφίας. οὕτως οὖν πλή-
ρης ἦν αὐτῷ ἡ νοητὴ λαμπὰς τῆς ψυχῆς, τοῦ τῆς
κοσμικῆς ἐλαίου, ἵνα καὶ τὸ τῆς ἀΰλου φῶς ἄ-
νωθεν καταπτὰν ἐπὶ τὴν λαμπάδα ταύτην,
ὑφάψῃ, καὶ πυροειδὴς ὁ Ἰωάννης ἀναφανῇ. ἐπὶ
τούτοις ὁ τούτου διδάσκαλος, ἐκ τοῦ μαθητοῦ ὡς
ἔοικεν ὁδηγηθεὶς πρὸς τουτονὶ τὸν ἔρωτα, προ-
σεισι τῷ πατρὶ τοῦ παιδὸς, καὶ φησίν. ἰδοὺ σοι
τὰ τῆς ἐπιθυμίας τετέλεσται. καὶ οἱ παῖδες,
ἐμοῦ κατὰ σοφίαν ὑπέρκεινται. οὐ γὰρ ἤρκε-
σεν αὐτοῖς γενέσθαι ὡς ὁ διδάσκαλος, ἀλλὰ με-
γέθει φύσεως, καὶ ἀνενδότοις τοῖς πόνοις, ἴσως
καὶ τοῦ θεοῦ ἐπαυξήσαντος τούτοις τὸ τῆς σο-
φίας χάρισμα, ὑψιπετέστεροί μου πρὸς ὕψος φι-
λοσοφίας γεγόνασιν. οὐ χρεία δέ ἐστιν αὐτοῖς
ἐμοῦ τοῦ λοιποῦ. ἔστω δὲ τοῦ πόνου μισθὸς, τὸ

παρὰ σοῦ ἐαθῆναί με, καὶ εἰς μοναχῶν ἀσκητήριον ἀπελθεῖν, κἀκεῖ ἐπιστημόνως ζητῆσαί με τὴν ἀνωτάτω σοφίαν, ἡ γὰρ φιλοσοφία ἣν ὑπὸ προπεπαίδευμαι, πρὸς ἐκείνην με παραπέμπεται, καὶ δυοῖν κάλλιον καταπλουτισθῆναί με τοῖν καλοῖν, καὶ προσεπικτήσασθαι τῇ προτέρον σοφίᾳ, καὶ τὴν ἀϋλοτάτην καὶ ὑπερέννοιαν, καὶ ἣν ὁ γυμνὸς νοῦς, ὁ πάντῃ ἀπηλλαγμένος τοῦ σώματος μυεῖσθαι δύναται. ἤλγησεν ἐπὶ τῷ λόγῳ τοῦ φιλοσόφου ὁ τοῦ Ἰωάννου πατὴρ, πλὴν οὐκ εἶχε κατασχεῖν, ἵνα μὴ δόξῃ φαῦλα τὰ μισθώματα τῆς τῶν λόγων διδασκαλίας αὐτῷ ἀποδίδοσθαι. ἐφοδιασάμενος δὲ αὐτὸν δαψιλεστάτοις ἐφοδίοις τοῖς πρὸς τὴν χρείαν, ἐν εἰρήνῃ ἀπέλυσεν. ὁ δὲ πρὸς τὴν ἐν ἐρήμῳ τοῦ ἁγίου Σάβα λαύραν ἀπιὼν, κἀκεῖ ἕως πολλοῦ τῆς προσμεμενηκὼς, πρὸς τὴν αὐτοῦ σοφίαν θεὸν μετακεχώρηκε. Συνεξεδήμησε δὲ διὰ θανάτου καὶ ὁ τοῦ Ἰωάννου πατήρ. Ὁ δὲ τῶν Σαρακηνῶν ἀρχηγὸς, τὸν Ἰωάννην εἰσκαλεσάμενος, προεχειρίζετο πρωτοσύμβουλον. ὁ δ᾽ ἀνένευεν, ἀλλαχόσε προσνενευκυῖαν ἔχων τὴν ἔφεσιν. ὅμως ἱκανῶς βιασθεὶς, ἀντιτείνειν ἔτι οὐκ ἴσχυσε. καὶ καθίσταται οὗτος ἐν μείζονι ἀρχῇ παρὰ τὸν γεννήσαντα. Ἦν δὲ τὰ τῆς ῥωμαϊκῆς διϊθύνων τότε Λέων ὁ Ἴσαυρος, ὃς

κατὰ τῶν σεβασμίων εἰκόνων καὶ τοῦ ὀρθοδόξου τῆς ἐκκλησίας πληρώματος, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος ἦν. ἐκείνας μὲν κατακαίων τῷ πυρὶ τῆς θηριώδους μανίας, τοὺς δ' αὐτὰς προσκυνοῦντας, ἁρπάζων καὶ ἀπολλύων, καὶ ὀδοῦσι τυραννικῆς δυσσεβείας διασπαράσσων ἐλεεινῶς. ταῦτα εἰς ἀκοὰς τοῦ Ἰωάννου ἐνέπεσε, καὶ τὸν ζῆλον μιμεῖται τοῦ Ἠλιοὺ, καὶ τοῦ ὁμωνυμοῦντος τὸν ἔλεγχον, οἷα τοῦ πνεύματος χρίσαντος αὐτὸν ἀοράτως καὶ πρὸ τῆς χρίσεως τῆς δυσσεβείας ἀντίπαλον. καὶ τὸν λόγον προβάλλεται οἷα τοῦ πνεύματος μάχαιραν, ὅπλον τμητικὸν, ἀνελεῖν τὸ τῆς θηριογνώμονος δόγμα ὡς κεφαλήν. ἐπιστολιμαίοις τοίνυν λόγοις ὑπὲρ τῆς τῶν σεβασμίων εἰκόνων τιμῆς τοῖς εἰδόσιν αὐτὸν ὀρθοδόξοις διέπεμπεν, ἄγαν δεινῶς ἐμφιλοσοφώτατα, ἀναγκαίαν εἶναι τὴν τῶν θείων ἐκτυπωμάτων προσκύνησιν. κἀκείνοις παρήγγειλε, πρὸς ἄλλους λέγειν τὰ ὅμοια, καὶ τὰς αὐτοῦ δεικνύειν πᾶσιν ἐπιστολάς. καὶ διὰ πάντων ἐσπούδαζεν ὁ τῆς ἀληθείας νέος ἀθλητής, ὡς διὰ κύκλου τινὸς τὰς οἰκείας ἐπιστολὰς ἀπὸ χειρῶν εἰς χεῖρας διαβαίνειν τοῖς πιστοῖς, καὶ κρατύνεσθαι τὸ ὀρθόδοξον. καὶ κατὰ Παῦλον ἐπείγετο κύκλῳ διαλαβεῖν τὸ περίγειον, εἰ καὶ μὴ τῷ ποδὶ, ἀλλὰ δι' ἐπιστολῶν, τῷ τῆς ἀληθείας κηρύγματι. Ἤκουσαι ταῦ-

τα τῷ βασιλεῖ Λέοντι, καί τινας τῶν ὁμογνωμόνων εἰσκαλεσάμενος, ἐπεὶ μὴ ἔφερε τὴν τῆς ἀσεβείας αὐτοῦ στηλίτευσιν, ἣν φανερῶς διεκήρυττον τὰ τοῦ Ἰωάννου γράμματα, ἐπήγγειλεν αὐτοῖς τὸ τῆς δυσσεβείας προσωπεῖον περιθεμένοις, διὰ σπουδῆς ποιήσασθαι, καὶ διαλαλιὰν θέσθαι, οἰκειόγραφον εὑρέσθαι τοῦ Ἰωάννου ἐπιστολήν. οἱ δὲ τῆς κακίας ὑπασπισταὶ, οὐκ ἀνῆκαν πάντα κάλων κινοῦντες τὸν δόλον ἀποκρυψάμενοι. καὶ ἀναζητοῦντες ὃ προσετάχθησαν, ἕως εὑρόντες τῷ βασιλεῖ ἐνεχείρισαν. καὶ οὗτος δὲ προσκεκληκὼς τινὰς τῶν ὑπογραφέων αὐτοῦ, τῶν τοῦ Ἰωάννου γραμμάτων προετίθει τοὺς τύπους εἰς μίμησιν, τόν τε τῆς γραφῆς χαρακτῆρα ὅσον ἐν διανοίᾳ καὶ ὅσον ἐν λέξεσιν. εὗρεν οὖν τοὺς εἰς τοῦτο ὑπηρετήσοντας ἱκανούς, καὶ δὴ κελεύει ὡς ἐκ τοῦ Ἰωάννου πρὸς αὐτὸν δὴ τὸν δυσώνυμον βασιλέα ἐγχαράξαι γραμμάτιον, τοιοῦδε τοῦ σκοποῦ ἐχόμενον. Χαῖρε ὦ βασιλεῦ, καγὼ συγχαίρω τῷ κράτει σου διὰ τὴν ταυτότητα τῆς ἡμῶν πίστεως, εὐγνωμοσύνην τε καὶ σέβας τὸ προσῆκον ἀπονέμω τῇ βασιλικῇ σου ὑπεροχῇ, δι' ἣν καὶ ταῦτα ποιῶ πρὸς γνῶσιν σου, ὡς ἡ καθ' ἡμᾶς πόλις αὕτη, περὶ τὴν φυλακὴν ἠμελημένη πάντη τυγχάνει, τὸ ἐν ταῦθα τε στρατιωτικὸν τῶν Ἀγαρηνῶν, ἀσθενές τε καὶ εὐαρίθμη

τόν. φεῖσαι οὖν πρὸς θεοῦ καὶ τῆς πόλεως ταύτης. καὶ παρελπίδα πᾶσαν, χεῖρα γενναίαν καὶ πολυπληθῆ πεπομφὼς, ἀλλαχοῦ προσποιουμένην πορεύεσθαι, ἕξεις τὴν πόλιν ἀκονητί. μετρίως γὰρ κἀγὼ πρὸς τὸν σὸν συναιροῦμαί σοι τὸν σκοπὸν, ὅτι καὶ ὑπὸ χεῖρα σχεδὸν ἐμὴν πᾶσα ἡ χώρα καὶ ἡ πόλις ἐπιτελεῖ. Τούτου γενομένου τοῦ γράμματος, γράμμα ἕτερον διαχαράττεται ἐκ τῆς αὐτοῦ δυσμενείας ὁ δυσσεβὴς, πρὸς τὸν ἄρχοντα τῆς ἐν Δαμασκῷ σαρακηνῶν, οὕτως ἔχον τοῦ σκοποῦ. ὡς οὐδὲν οἶδα τῆς εἰρήνης μακαριώτερον, οὐδὲ τῆς φιλίας εὐδαιμονέστερον. καὶ τὸ τηρεῖν τὰς εἰρηνικὰς συνθήκας, ἐπαινετὸν καὶ φιλόθεον. διὰ ταῦτα παντὸς ἄλλου προτίθεμαι, ἀδιαλύτους φυλάττειν ἃς διεθέμην εἰρηνικὰς φιλίας πρὸς τὴν σὴν εὐγένειαν. καίτοι πρὸς τὸ ταύτας διαλῦσαι κρυφίως καὶ παρασπονδῆσαι δολερῶς, ὑπό τινος τῆς ὑπὸ σὲ πλουσίων χριστιανῶν, πολλάκις ἐκκαλούμενος διὰ γραμμάτων αὐτοῦ πολλῶν, διαβεβαιουμένων ἀσφαλῶς, πλεῖστά μοι συλλαβέσθαι πρὸς τὸ τὴν ὑπὸ σὲ χειρώσασθαι πόλιν, ἂν πολυπληθὲς ἀφήσω κατ' αὐτοῦ στράτευμα. ἐνθένδε καὶ μίαν τῶν ὑπ' ἐκείνου μοι πεμπομένων ἐπιστολῶν, αὐτεξαπέστειλά σοι, βέβαια παριστῶν ἅπερ σοι ἔγραψα, ἵνα

γνὼς, οἷος ἐστὶ περὶ τὰς φιλίας ἀληθής τε καὶ ἀπαράσπονδος, ἐπιγνοίης δὲ καὶ τὸ δύσνουν καὶ δολερὸν τοῦ ταῦτα γράψαι πρός με τολμήσαντος. Ταῦτα οὖν ἄμφω τὰ γράμματα ὁ λεοντώνυμος καὶ ὁμογνώμων τοῦ δόλου, διά τινος ἐξαπέστειλε πρὸς τὸν βάρβαρον. ὁ δὲ, ταῦτα δεξάμενος, εἰσκαλεῖται τὸν Ἰωάννην, καὶ τὸ δολερὸν ἐκεῖνο γραμμάτιον, αὐτῷ ὑποδείκνυσιν. ὁ δὲ Ἰωάννης ὥσπερ δεξιῶν, τοῦ τῶν γραμμάτων τύπου τοῖς ἑαυτοῦ παρεικάζεσθαι συγκατέθετο, τὰ δ' ἐν αὐτοῖς ἐμφερόμενα, μὴ τὸ παράπαν εἰδέναι, μὴ δ' εἰς νοῦν βάλλεσθαί ποτε προσετίθετο, οὐκ ἠγνόησε δὲ τὸν δόλον καὶ τὴν ἐπιβουλὴν ἀναγνούς. ἀλλ' ὁ μισόχριστος ἐκεῖνος ἄρχων πρὸς τὰ ὑπὸ τοῦ Ἰωάννου λεγόμενα, ὄνος ἦν λύρας ἀκούων, ὥσπερ δὴ φάναι τὸ τῆς παροιμίας, καὶ ἐκωφώθη μὲν ἐξ ἀγαθῶν ῥημάτων καὶ ἀληθῶν, οὐκ ἐσίγησε δὲ τοῦ μὴ ἄδικον ἀποφθέγξασθαι πρόσταγμα, ἀλλ' εὐθὺς κελεύει τὴν δεξιὰν κοπῆναι τοῦ Ἰωάννου. καὶ δεομένου βραχὺν χρόνον δοθῆναι οἱ πρὸς ἀπολογίαν τε καὶ ἀφήγησιν τῆς κατ' αὐτοῦ μανίας τοῦ δυσσεβοῦς, οὐκ ἀνῆκεν, οὐδὲ ἠνέσχετο ὅλως ὑπὸ τῆς μανίας ἐκστὰς ὁ βάρβαρος. καὶ δὴ ἐκκέκοπται δεξιά, ἡ ποιήσασα δύναμιν τοῖς ὀρθοδόξοις ἐν θεῷ, δι' ὧν γέγραφεν. ἐκκέκοπται δεξιά, ἡ ἐλέγχουσα τοὺς μισοῦντας τὸν κύριον.

καὶ αὐτὴ μέλανος ᾧ ἐβάπτετο πρότερον, λογογραφοῦσα τὴν τῶν εἰκόνων προσκύνησιν, οἰκείῳ αἵματι βάπτεται. ἐκκοπεῖσαν τοίνυν ἐκείνην τὴν δεξιὰν ἀπὸ τοῦ κυρίου, ἵν' οὕτως εἴπω, ἐπὶ τῆς ἀγορᾶς ἐμετεώρισαν. ἑσπέρας οὖν καταλαβούσης, καὶ εἰς πέρας λῆξαι τὸν θυμὸν τῆς τυράννων ὑποτοπάσας ὁ Ἰωάννης, πρεσβείαν πρὸς ἐκεῖνον ἐστείλατο, δυσωπῶν καὶ τοιαῦτα φθεγγόμενος. τὰ τῆς ὀδύνης μοι ἐπιτείνεται, καὶ οὐ φορητά μοι καθέστηκε, καὶ οὐκ ἂν ἀνεθείη μοι ἡ τῆς ἀλγηδόνος ἀκὶς ἕως ἐπ' ἀέρος ἡ ἐκκοπεῖσα ἐκκρέμαται, κέλευσον οὖν αὐτὴν χαρισθῆναί μοι, ὡς ἂν ὑπὸ γῆν κατακρύψω καὶ παρακμάσῃ τὸ πολυώδυνον. εἶξεν οὖν εὐθὺς ὁ τύραννος πρὸς τὴν δέησιν, καὶ δίδοται τῷ δικαίῳ ἡ χείρ. ὁ δέ, ταύτην εἰληφώς, εἰς τὸ κατ' οἶκον αὐτοῦ εὐκτήριον εἴσεισι, καὶ ὅλος πρηνὴς πεσών, πρό τινος θείας εἰκόνος τὸν θεῖον χαρακτῆρα φερούσης τῆς θεομήτορος, καὶ τὴν ἐκκοπεῖσαν δεξιὰν τῇ πρὶν ἁρμονίᾳ προσθείς, ἐκ βάθους καρδίας τῆς φιλευσπλάγχνου ἐδεῖτο, στεναγμοῖς καὶ δάκρυσιν ἐκβοώμενος. Δέσποινα πάναγνε μῆτερ, ἡ τὸν θεόν μου τεκοῦσα, διὰ τὰς θείας εἰκόνας ἡ δεξιά μοι ἐκόπη. οὐκ ἀγνοεῖς τὴν αἰτίαν, ἣν ἐμάνη ὁ Λέων. πρόφθασον τοίνυν ὡς τάχος, καὶ ἴασαί μου τὴν χεῖρα. ἡ δεξιὰ τοῦ ὑψίστου ἡ

ἄχρι σοῦ σαρκωθεῖσα, πολλὰς ποιεῖ τὰς δυνάμεις διὰ τῆς σῆς μεσιτείας. τὴν δεξιάν μου καὶ ταύτην νῦν ἴασαι, παναγία, ὡς αἰτοῦς ὕμνους οὓς δοίης, καὶ τοῦ ἐκ σοῦ σαρκωθέντος, ἐν ἐνθέοις καὶ ἁρμονίαις συγγράψηται Θεοτόκε, καὶ συνεργὸς χρηματίσῃ τοῖς ὀρθοδόξου λατρείας. δύνασαι γὰρ ὅσα θέλεις ὡς τοῦ Θεοῦ μήτηρ οὖσα. Ταῦτα λέγων ὁ Ἰωάννης σὺν δάκρυσιν, εἰς ὕπνον ἐσφάπτο, καὶ ὁρᾷ τὴν τῆς Θεομήτορος ἁγίαν εἰκόνα ὄμμασιν εὐσπλάγχνοις καὶ ἱλαροῖς πρὸς αὐτὸν ἀποβλέπουσαν καὶ λέγουσαν. ἰδὲ ὑγιὴς γέγονέ σου ἡ χείρ. μὴ μέλλε λοιπόν, ἀλλὰ κάλαμον ταύτην γραμματέως ποίησον ὀξυγράφου ὡς ἐπηγγείλω μοι νῦν. Ἀφυπνισθεὶς οὖν ὁ ἰαθεὶς, εἶτα περιεργασάμενος τὴν κεκομμένην, καὶ ἰαθεῖσαν ταύτην ἰδὼν, ἠγαλλιάσατο τῷ πνεύματι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρι αὐτοῦ, καὶ τῇ τούτου μητρὶ, ὅτι ἐποίησεν αὐτῷ μεγαλεῖα ὁ δυνατὸς, καὶ τὰς ἐπὶ τοὺς πόδας, τὰς χεῖρας αὐτοῦ εἰς ὕψος ἀνέτεινε, καὶ μέλος ἦσε τὸ τῷ καιρῷ προσφορώτατον. καὶ ἦν δι' ὅλης νυκτὸς πανοικὶ εὐφραινόμενος, καὶ ἄδων ᾆσμα καινὸν Θεῷ εὐχαριστήριον. ἡ δεξιάσου χεὶρ λέγων κύριε, δεδόξασται ἐν ἰσχύϊ. ἡ δεξιάσου χείρ, τὴν θραυσθεῖσάν μου δεξιὰν ἰάσατο. καὶ διὰ ταύτης θραύσῃ ἐχθροὺς τοὺς μὴ τιμῶντας τὴν σὴν σεβασμίαν Ἐξο. ιε.

εἰκόνα καὶ τῆς τεκούσης σε, καὶ τῷ πλήθει τῆς δόξης σου, τοὺς ὑπεναντίους εἰκονοθραύστας συντρίψεις διὰ τῆς ἐμῆς χειρός. ἦν οὖν ἡ νὺξ ἐκείνη ἐκείνῳ, ἡμέρα καὶ οὐχὶ νύξ. καὶ φῶς, καὶ οὐχὶ σκότος. καὶ ἵν' οὕτως εἴπω τὸ προφητικὸν μεθ' ὑπαλλαγῆς, ἦχος ἦν ἐκεῖ καθαρὸς ἑορταζόντων, καὶ φωνὴ ἀγαλλιάσεως ἐν σκηνῇ δικαίου ἀνδρός. Ταῦτα οὐκ ἐν κρυπτῷ οὐδ' ἡσυχῇ ἐτέλεστο, ἀλλὰ διέβαινεν ὁ θαυμαστὸς ἐκεῖνος φθόγγος καὶ ἐναρμόνιος ἀλαλαγμός, εἰς τοὺς ἐκ γειτόνων καὶ κύκλωσε. καὶ εὐθὺς, ἀπῄεσάν τινες τῶν μισοχρίστων σαρακηνῶν, παρὰ τὸν οἰκεῖον ἄρχοντα, μὴ ἐκκεκόφθαι τῷ Ἰωάννῃ τὴν δεξιὰν λέγοντες, ἄλλου δέ τινος δούλου τυχὸν, ἢ ἄλλως ὑπηρετουμένου αὐτῷ, καὶ δι' εὔνοιαν προσδεδωκότος ἑαυτὸν ἀντὶ τοῦ δεσπότου αὐτοῦ, τοὺς δὲ τὴν ἐκκοπὴν προσταχθέντας, χρήμασιν ἀνταλλάξασθαι τὴν ποινήν. ὁ γὰρ Ἰωάννης οἴκοι καθήμενος οὕτως ᾄδει καὶ τέρπεται, ὡς γαμήλια εἴποις πανηγυρίζειν αὐτὸν, καὶ ὡσεὶ θαλαμίων ποιεῖσθαι τῶν ὑμεναίων ἠχὴν, μᾶλλον δ' ὑπὲρ ἐκεῖνα ἢ τούτου ἔοικεν ἀγαλλίασις. Τούτων οὕτω προσαγγελθέντων, προσεκαλεῖτο καὶ ὁ Ἰωάννης. ὁ δὲ ἀφικόμενος, ἐκελεύετο δεικνύειν τὴν ἐκκοπεῖσαν δεξιάν. ἧς ἐμφανισθείσης, ὑπεφαίνετο καί τις

γραμμὴ τῆς διακοπῆς, τότε οἰκονομησάσης τῆς θεομήτορος, τὴν ἐκκοπὴν ἀψευδεστάτην καταμηνύουσα. ἐφ᾽ οἷς ὁ βάρβαρος ἔφησε. τίς ὁ ἐξιασάμενός σε ἰατρὸς Ἰωάννη; καὶ τίνα τὰ ἐπιτεθέντα σοι φάρμακα; ὁ δὲ λαμπρᾷ τῇ φωνῇ καὶ μεγάλῃ, κῆρυξ τοῦ θαύματος γίνεται. ὁ κύριός μου φησὶν ὁ παντοδυνάμενος ἰατρὸς, ὃς οὐχ᾽ ὑστερίζουσαν ἔχει τὴν δύναμιν πρὸς τὴν ἴασιν. καὶ ὁ βάρβαρος ἀπεκρίνατο. ὡς εἴκασμαι ἄνθρωπε, ἐπ᾽ ἀνευθύνοις ὃ πέπονθας πέπονθας, καὶ λοιπὸν ἡμῖν σύγγνωθι, ἐφ᾽ οἷς ἀπερισκέπτοις καὶ ἀλογίστοις ταῖς ἀποφάσεσιν, ἐπηνέγκαμέν σοι τὴν τιμωρίαν. ἴσθι τοίνυν τὴν προτέραν ἐφέπων ἀρχὴν, καὶ πρῶτος ἔσῃ ἐν τοῖς ἡμετέροις συμβούλοις, οὐδὲν γὰρ πράξαιμεν πώποτε τοῦ λοιποῦ ἄνευ σῆς παραινέσεώς τε καὶ συμβουλῆς. ὁ δὲ, πεσὼν χαμαὶ, προσεκύνησε. καὶ πρηνὴς κείμενος, ἐδέετο ἐκείνου ἐφ᾽ ὥραν ἱκανὴν συγχωρηθῆναι οἱ, καὶ ἄλλην ἐᾶσαι τρέχειν ὁδὸν τὴν ἐρασμιωτέραν ὁδεῦσαι, καὶ ἀκολουθῆσαι τῷ λέγοντι, ἐγώ εἰμι ἡ ὁδός. ὁ δὲ βάρβαρος, οὐκ ἐδίδου τὴν παραχώρησιν. καὶ ἦν ἰδεῖν μονομαχοῦς ὡς ἄν τις εἴπῃ τὸν βάρβαρον καὶ τὸν δίκαιον. ὁ μὲν, πολλοῖς ἠγωνίζετο ἐπέχειν τὸν Ἰωάννην τοῖς τοῦ κόσμου δεσμοῖς. ὁ δὲ, βίαιος τις ἦν ταῦτα ἀπορρῆξαι μετὰ σπουδῆς, καὶ ἀγγελικαῖς πετάσαι ταῖς πτέρυξι.

καὶ στάδιον τό τε ἠνεωγμένον μέγα ἐτύγχανεν;
ἀγωνοθέτης δὲ χριστὸς προεκάθητο, καὶ τὸ θέα-
τρον ἄγγελοι. ἐρεῖ δέ τις ἴσως δικαίως καὶ τοὺς
πονηροὺς ἐξ ἀριστερῶν παραθαρρύνειν τὸν βάρ-
βαρον, καὶ ἐπαλείφειν πρὸς πιθανότητας. νι-
κᾷ δὲ μετὰ πολλῆς τῆς ἀναῤῥήσεως ὁ ἐμὸς μονο-
μάχος. καὶ τὰ πιθανὰ πάντα τοῦ ἀντιπάλου,
ὡς βέλη νηπίων λελόγισται. καὶ νικητὴς ἄπει-
σιν ἀναδεδεμένος τὴν κεφαλὴν ταινίᾳ περιφα-
νεῖ, καὶ τὸν οἶκον εἴσεισι φαιδρωπὸς, ὁ πρὶν
ἐξιὼν αὐτὴν σκυθρωπός: καὶ δύο προκειμέ-
νων αὐτῷ τῶν δεσποτικῶν ἀποφάσεων, τῆς μὲν,
Ματ. ιθ. πωλεῖν τὰ ὑπάρχοντα καὶ πένησι διανέμειν
Μαρκ. ι. ὁριζομένης, τῆς δὲ, καταλιμπάνειν οἰκίας καὶ
Λουκ. ιη. ἀγροὺς καὶ τἆλλα πάντα, ἕνεκεν τοῦ ὀνόματος
τοῦ δεσπότου, οὔτε ταύτην τὴν προτέραν ποιεῖται
τὴν σχολὴν, ἵν' ἴσως μὴ ἐμβραδύνῃ, οὔτε κατὰ
τὴν δευτέραν ποιεῖ, ἵνα μὴ ὡς ἔτυχε ταῦτα ἐά-
σας, ἔριδες προβαίεν καὶ διαμάχαι πολλαὶ τῶν
καθ' αἷμα ᾠκειωμένων αὐτῷ, ἄλλων ἄλλο προ-
βεβλημένων τοῦ κληρονομεῖν δίκαιον, ἀλλὰ μέσος
ἀμφοτέρων χωρεῖ, καὶ ὡς εἶχε τὰ ὑπάρχοντα
διανειμάμενος πένησιν, αἰχμαλώτοις, δούλοις
τοῖς ἑαυτοῦ, οὓς δὴ καὶ ἐλευθερίας ἠξίωσε, συγ-
γενέσι, καὶ θείοις καθιδρύσας ναοῖς, ὡς ἐξῆλ-
θε γυμνὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, οὕτω γυ-

μνὸς ἐξῆλθε ἐν κόσμον, πλὴν τῶν ἀναγκαίων ἀθλημάτων. καὶ ἀπιὼν εἰς ἱεροσόλυμα, καὶ τὴν προσήκουσαν προσκύνησιν ποιησάμενος ἐν τόποις τούτοις τοῖς σεβασμίοις, ὡς ἔλαφος διψῶσα τὸν θεὸν, εἰς τὴν ἔρημον ἔξεισι, καὶ τὴν τοῦ θεοφόρου Σάβα λαύραν καταλαμβάνει, ἔχων ὀπαδὸν οὐ τῆς ὁδοῦ μόνον, ἀλλὰ καὶ τοῦ σκοποῦ κοινωνὸν, Κοσμᾶν τὸν αὐτῷ συμμετασχόντα καὶ ἀνατροφῆς καὶ παιδεύσεως. εἶπες ἂν αὐτοὺς ζεῦγος ἱερὸν εἶναι, καὶ ὑπὸ τὸν ζυγὸν φέρειν τοῦ χριστοῦ, ὡς ἂν ἀροῦντα αὐτὸν ἐπαυχένιον. ὁ γοῦν Ἰωάννης, ὃς τοῦ λόγου ἐστὶν ὑπόθεσις, τὴν θείαν ἐκείνην μάνδραν εἰσιὼν, τοῦ ποιμένος πίπτει πρὸ τῶν ποδῶν, λιπαρῶς ἐξαιτούμενος ὡς ἓν τῶν ἐκεῖ προβάτων ταγῆναι, ἀπολωλὸς ἑαυτὸν καλῶν, καὶ ἐξ ἐρήμων ὀρέων ἄρτι ἐπιστρέφον πρὸς τὸν ποιμένα χριστόν. ἥσθη τοίνυν ὁ τῆς ποίμνης προεστὼς ἐπ' αὐτῷ, καὶ τῆς προαιρέσεως ἐμακάρισε. καὶ δόξαν αὐτῷ, διὰ τὸ τοῦ βίου περιφανὲς, καὶ τὸ τῆς γνώσεως περιὸν, ἑνὶ τῶν μεγάλων παραδοῦναι γερόντων ἐν νεήλυν, ὡς ἂν ὑπ' ἐκείνῳ καθηγεμόνι ταττόμενος, ἀπλανῶς ἐπιπορεύεται τὴν ὁδὸν τοῦ θεοῦ, ὁ δὲ ἕτερον ἐκ τῶν τῆς μονῆς ἐν πᾶσι καλοῖς ἐπίσημον, εἰσκαλεῖται πρόεδρον, καὶ ἐγχειρίζειν αὐτῷ τὸν Ἰωάννην ἐπιχειρεῖ. ὁ δὲ, ἀπαναινόμενος

ἦν, οὐχ ἱκανὸν εἶναι ἑαυτὸν φάσκων εἰς ποιμαντικὴν ἀνδρὸς τοιούτου, μέγα τὸ κλέος ἀράμενον περὶ σοφίαν. παρῄνει τουτονὶ τὸν γέροντα ὁ ποιμενάρχης. καὶ μετ' αὐτὸν, ἕτερον εἰς καλεῖται. καὶ ὁ δεύτερος, τὰ ὅμοια τῷ προτέρῳ ἔλεγε. τρίτος μετ' ἐκείνους ἄλλος εἰσῄετο. μετὰ δὲ τούτους, οὐκ ὀλίγοι ἕτεροι. καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι ἅπαντες τὴν προστασίαν τοῦ Ἰωάννου. μετὰ δὲ τοὺς πολλοὺς, ἄλλος εἰσήει γέρων, τὸ ἦθος ἁπλοῦς, τὴν γνῶσιν πολύς. καὶ πρόθυμος πρόθυμον τὸν Ἰωάννην δεξάμενος, εἰς τὸ κελλίον τὸ ἴδιον ἄπεισι σὺν αὐτῷ. καὶ τὸ καλὸν θεμέλιον πρῶτον αὐτῷ ὑποτίθησι, τὸ μηδὲν πράττειν ἰδίῳ θελήματι. θύειν δὲ θεῷ ἱδρῶτας ἐν προσευχαῖς, διὰ τὸ τούτων ἐκτενὲς καὶ ἐπίπονον, καὶ ἐξ ὀφθαλμῶν δακρύειν, ἐπιμέλειαν τῆς περὶ τῷ προτέρῳ βίῳ καθάρσεως, ἃ θυσία καθαρὰ λέλεκται τῷ θεῷ ὑπὲρ πᾶν ἄλλο θυμίαμα. καὶ ταῦτα μὲν πρῶτον εἰς τὰ διὰ τοῦ σώματος ἐνεργούμενα. εἰς τὰ κατὰ ψυχὴν δὲ, μηδεμίαν ζωγραφεῖν κοσμικὴν φαντασίαν, μὴ εἰκονίζειν ἐν αὐτῇ μορφὰς πραγμάτων οὐ καθηκόντων, τὸν νοῦν δὲ ἀπὸ παντὸς φυσήματος διακένου διατηρεῖν. μήτε μὴν τῷ τῶν μαθημάτων πλήθει ἐπαίρεσθαι, καὶ ἐν οἷς μεμάθηκε τὸ πᾶν καταλαβεῖν οἴεσθαι. μήτ' ἐς ἔφεσιν

ὀπτασιῶν τινῶν καὶ ἀποκρύφων ἀποκαλύψεων. μήτε πεισθήσεσθαί σοι τὸν νοῦν, ἑαυτῷ τεθαῤῥηκέναι ποτέ, ἢ δόξαι σχεῖν γνῶσιν ἀνεπισφαλῆ, ἕως ἂν διχάζηται, ἀλλ' εἰδέναι δειλοὺς τοὺς οἰκείους λογισμούς, καὶ τὰς αὐτοῦ ἐπινοίας ἐπισφαλεῖς. σπεύδειν δὲ μὴ ἐᾶν σκεδάννυσθαι τὴν διάνοιαν, ἀλλ' ἐπείγεσθαι ταύτην συνάγειν ἐπιμελέστατα, ἵν' οὕτω δή, ὁ μὲν νοῦς αὐτοῦ φωτισθείη πρὸς θεοῦ, καθαρθῇ δὲ ἡ ψυχή, καὶ τὸ σῶμα καθαγνισθείη, καὶ τέλος, τὸ σῶμα σὺν τῇ ψυχῇ ἐπισυναφθείη τῷ νοΐ, καὶ τὸ τριπλοῦν ἁπλοῦν γένηται διὰ τὴν πρὸς τὴν ἁπλουστάτην τριάδα ἕνωσιν, καὶ γένηται ἄνθρωπος οὐ σαρκικός, οὐδὲ ψυχικός, ἀλλὰ τὸ ὅλον πνευματικός, μιᾶς στοιχειωθείσης τῶν δύο γνωμικῇ προαιρέσει, εἰς τὸ τρίτον καὶ πρῶτον, λέγω δῆτα τὸν νοῦν. Οὕτω δὴ ὁ πατὴρ τῷ παιδί, τῷ μαθητῇ ὁ διδάσκαλος ὑποθέμενος, προσεπέθετο αὐτῷ καὶ τοῦτο, εἰπών. μὴ πρός τινας ἐπιστείλῃς ἐπιστολήν, μὴ τὸ παράπαν φθέγξῃ τι τῶν τῆς ἔξω παιδείας, σιωπὴν δὲ ἄσκει μετὰ συνέσεως. οἶδας γὰρ τοῦτο μὴ μόνον τῶν καθ' ἡμᾶς φιλοσόφων εἶναι παράγγελμα, ἀλλὰ καὶ Πυθαγόρας ἐκεῖνος ὁ Σάμιος, τοῖς ἑαυτοῦ μαθηταῖς ἄρτι μυουμένοις αὐτῷ τὰ τῆς φιλοσοφίας μυστήρια, πολυετῆ παρήγγελλε τὴν σιγήν. καὶ μὴ δόξῃς καλὸν εἶναι,

τὸ τὰ καλὰ παρὰ καιρὸν φθέγγεσθαι. εἰς τοῦτο
Ψαλ. λη. γὰρ ὁ Δαβὶδ ὁδηγεῖ τῷ, ὅς φησιν ὅτι ἐσίγησα
ἐξ ἀγαθῶν. εἶτα, τί ἐντεῦθεν αὐτῷ συμβέ-
βηκεν λέγοντος ἄκουσον. ἐθερμάνθη ἡ καρδία
μου ἐντός μου. τῷ πυρὶ πάντως τοῦ πρὸς θεὸν
ἔρωτος. ἐν τῇ κατὰ διάνοιαν δὲ μελέτῃ, τὸ πῦρ
ἐκεῖνο τῷ προφήτῃ ἐξήφθη. Ταῦτα τῷ Ἰωάν-
νῃ ὁ γέρων παρήγγειλε. καὶ οὐκ ἦν καθ' ὕδατα τῶν
γραφῶν, οὐδὲ κατὰ πετρῶν ἀπείρων, ἀλλ' εἰς
γῆν ἀγαθήν. χρόνος δὲ οὐ παρῆλθεν ἱκανός, καὶ ὁ
Ἰωάννης ἦν διὰ πάσης πείρας τῷ γέροντι παι-
δοτριβούμενος, καὶ κατὰ πάντα τὴν ὑπακοὴν
ἀνεπίσφαλῆ ἐνδεικνύμενος. οὐκ ἦν ἀντιλογία
τῷ Ἰωάννῃ ἐν οἷς προσετάττετο. οὐκ ἦν γογγυσ-
μὸς ἐν γλώσσῃ, οὐδὲ διαλογισμὸς ἐν καρδίᾳ ὅ-
λως ἀνακινῶν ἐν τοῖς ἄπερ ὁ ἐπιστάτης αὐτῷ δι-
εῖρετο. ἀλλὰ τοῦτο μόνον ἐν μέσῃ διανοίᾳ ἐγκε-
κολαμμένον εἶχεν ὡς ἐν πλαξὶν ἕως βάθους,
τὸ παντὸς ὅρου καὶ ἐπιτάγματος, ποιεῖν, ὡς ὁ
Παῦλος παρακελεύεται, τὸ ἐπιταττόμενον, χω-
ρὶς γογγυσμοῦ καὶ διαλογισμῶν. τί γὰρ κέρ-
δος τῷ ποιοῦντι χρυσὸν οἱονδήποτε, ἂν ἐπικάθη-
ται ἐν τοῖς χείλεσι γογγυσμός; ἢ τῇ καρδίᾳ ἐμ-
φωλεύῃ ὡς ὄφις διαλογισμὸς πονηρός; πότε
βελτιωθήσεται ἡ ψυχὴ τῷ οὕτως διακονοῦντι;
πότε τὴν ἐπὶ τὸ πρόσω ποιήσει προκοπήν; διὰ τοῦτο

πόνου τινὸς εἰκῇ, πρὸς τὰ ἔμπροσθεν οὐ προσκόπτον-
τος. εἶτα τοῖς μείζοσι τῆς ὑπακοῆς ἀγωνίσμα-
σιν ἐγγυμνάζων ὁ γέρων τὸν ἀθλητὴν, τί μηχα-
νᾶται; σπυρίδας ἃς εἶχον αὐτόχειρον πολλὰς
συναγηοχὼς, πρόφασιν προβάλλεται τοιανδὶ, εἰ-
ρωνικῶς τῷ Ἰωάννῃ οὑτωσίν. ὡς ἤκουσταί μοι τέκνον,
ἐν Δαμασκῷ πολλοῦ πωλεῖσθαι τὰς σπυρί-
δας, ἤπερ ἐν τοῖς τῆς παλαιστίνης μέρεσιν, καὶ
χρειῶν, ὡς οἶδας, πολλῶν ἡμῖν δεῖ. ἀνελόμενος
οὖν ἁπάσας, ἐκεῖ ὡς τάχος ἔχεις πορεύου. καὶ
μὴ ἄλλως ταύτας πωλήσῃς μηδὲ παρὰ μικρὸν,
εἰ μὴ ὥσπερ σοι ἐντέλλομαι, ἑκάστης διπλάσιον
τοῦ ἀξίου τὸ τίμημα ὁρισάμενος. οὐκ ἀντεῖπε δὲ,
οὐδὲ τὸν τοῦ ἐπιτάξαντος λόγον ἀνέκρινεν ὁ μέ-
χρι θανάτου ὑπήκοος, ἐπωμίζεται δὲ τὸν φόρ-
τον ὁ προθυμότατος τὴν ὑπακοὴν, καὶ εἰς Δαμασκὸν
ἄπεισιν· ὁ πρὶν περίοπτος ἐν αὐτῇ, ῥακενδύτης,
αὐχμηρὸς, καὶ ῥυπῶν, καὶ περιήει τὴν ἀγορὰν
τὴν τῶν σπυρίδων ποιούμενος διαπώλησιν. ὡς
οὖν πολλοῦ ταύτας ἐποίει τοῦ τιμήματος, γέλω-
τα παρεῖχε, καὶ ὀνειδισμοῦ καὶ ὕβρεως τοῖς πᾶ-
σιν ἐγίνετο. εἷς τοίνυν τῶν ἐξυπηρετούντων αὐτῷ
ὅτε περιφανὴς ἐν τῇ πόλει διέπρεπε, κατὰ πρό-
σωπον στὰς, καὶ τὴν ὄψιν ἐκείνου εἰς διάνοιαν ἐμ-
βαλλόμενος, ἐγνώρισε τὸν οὕτω ταπεινὸν, τὸν οὕ-
τω δυσείμονα, ὅστις εἴη, καὶ οἷος ἐτύγχανε. καὶ

συντριβεὶς τὴν καρδίαν, προσεισιν ὡς μηδὲν εἰδὼς, ὁ εἰδὼς, καὶ τὴν τῶν συνειδότων ἐξώνησιν ἐποιήσατο, δοὺς αὐτῷ ὅσον ἐπεζητήθη τὸ τίμημα. ὁ δὲ, τοῦτο λαβὼν, παλινοδίαν ποιεῖται πρὸς τὸν στειλάμενον. καὶ οἷά τις νικηφόρος ἐπάνεισι γενναῖος, εἰς τοὔδαφος καταβαλὼν τὸν ἀντίπαλον, ὃς ἦν ὁ τῆς κενῆς δόξης καὶ ὑπερηφανίας γεννήτωρ. Ἐκγειτόνων δὲ τοῦ Ἰωάννου, μοναχός τις ἐτύγχανεν, ὃς τὴν τῆς γῆς παροικίαν πρὸς τὴν οὐράνιον μονὴν μετηλλάξατο, καὶ πρὸς θεὸν ἐξεδήμησεν. ἦν δ᾽ ἐκείνῳ ἀδελφὸς κατὰ σάρκα. οὗτος ἡττηθεὶς τῆς συμφορᾶς, οὐδ᾽ ὅλως εἶχε στέγειν τὸν ἀδελφικὸν θάνατον. ὁ γοῦν Ἰωάννης, παρηγόρει τὸν ἀδελφὸν, καὶ ὡς εἶχε λόγοις τὸ πάθος ἀνεκαλεῖτο. δυσωπεῖ δὲ τοῦτον ὁ πενθῶν, καί τι αὐτῷ μελλουργῆσαι τὸ παρόν ἐκλιπαρεῖ, παρηγορεῖν τὸ πένθος, καὶ τὴν ψυχὴν καταψῦξαι. ἐδεδοίκει δὲ ὁ Ἰωάννης τὴν τοῦ γέροντος ἐντολὴν, καὶ πρὸς τὴν αἴτησιν οὐ κατένευεν. ὁ δ᾽ αἰτούμενος, οὐκ ἀφίστατο δυσωπῶν, καὶ ἵνα τί ἔλεγε ψυχὴν ὀδυνωμένην οὐκ ἐλεεῖς; καὶ μικρὸν ἐπιπάσσεις αὐτῇ φάρμακον ἀκεσώδυνον; σὺ ἰατρὸς ὑπάρχεις σωματικὸς, ὀδύνη δέ με σωματικὴ περιέπειρεν εἰ μὴ τὸ κατὰ δύναμιν προσήξασμοι φάρμακον, κᾀγὼ δεινῶς ἔπασχον, καὶ ἴσως τὴν τοῦ θάνατον, οὐκ ἔμελλον δίκας ὑφέξειν παρὰ

θεῷ; ταύτης τῆς προοράσεως; καὶ νῦν ἐν μεί-
ζονι προορῶν με πάσχοντα, οὐ μείζονας ὑφέξεις τὰς
δίκας; εἰ δὲ καὶ δεδίττῃ τὴν τοῦ γέροντος ἀπο-
λὴν, ἴσθι ἐν ἀπορρήτῳ μοι κεῖσθαι τὸ πρᾶγμα καὶ
ἀνεξάκουστον. κάμπτεται τοῖς λόγοις τούτοις ὁ
Ἰωάννης, καὶ τροπάριον αὐτῷ τὸ νεκρώσιμον τίθη-
σιν ἐναρμόνιον, ὃ καὶ μέχρι τοῦ νῦν παρὰ τοῖς πάν-
των στόμασιν ᾄδεται, τὸ, πάντα ματαιότης τὰ
ἀνθρώπινα. ἀπῆν δέ ποτε τοῦ κελλίου ὁ τοῦ Ἰωάν-
νου καθηγούμενος, ὁ δ' ἐντὸς τῆς κέλλης ἐναρμο-
νίως ὑπῇδε τὸ εἰρημένον τροπάριον, καὶ ὁ γέρων
ἐκτὸς παραφθακὼς, τὴν μελουργικὴν ἐκείνην
φθογγὴν ἐνωτίζεται, καὶ μετ' ὀργῆς ὅτι πολλῆς
τῷ Ἰωάννῃ φησίν. οὕτως ἐπιλέλησαι τῆς ἀρχῆ-
θεν σου ὑποσχέσεων, καὶ ἀντὶ πενθοῦντος καὶ σκυ-
θρωπάζοντος, διακεχυμένος κάθη, καὶ θρυπτό-
μενος τοῖς μελίσμασιν; ὁ δὲ, τὴν αἰτίαν ἐξεῖ-
πε τῷ γέροντι, καὶ τὸ τοῦ βιαζομένου πένθος προὐ-
βάλλετο, καὶ πρηνὴς πεσὼν, ἐξῃτεῖτο συγγνώ-
μην. καὶ ὁ γέρων, οἷα λίθος καὶ ὡς ἄκμων ἵστα-
το, μηδόλως τῷ ἱκετεύοντι ἐνδιδούς, καὶ ἐξέ-
βαλεν αὐτὸν τῆς κέλλης εὐθύς. ὁ δὲ θαυμα-
στὸς ἐκεῖνος ἀνὴρ, εἰς μνήμην εὐθὺς τῆς προγονι-
κῆς παρακοῆς γίνεται, καὶ τῆς ἐκ τοῦ παραδείσου
διὰ ταύτην ἐκπτώσεως, καὶ οὐκ εἶχεν ὅποι καὶ
κλίνηται, ἢ ποῖ τράπηται. καὶ πλέον ἦν πενθῶν

ἀπώσατο τὸν ἀποβαλόντα τὸν ἀδελφόν, τοιάδε λέ-
γων καθ' ἑαυτόν, ὡς ἐκεῖνος μὲν ἀδελφὸν ἀπε-
βάλετο, ἐγὼ δὲ τὴν ἐμὴν ψυχὴν διὰ τῆς πρα-
κτικῆς ἀπολώλεκα. τέλος, ἑτέροις γέρουσι πεί-
σειν, οὓς τῶν ἄλλων ᾔδει ἐξαιρέτως πρὸς ἀρε-
τήν. καὶ πρέσβεις προσβάλλεται πρὸς τὸ τὸν γέ-
ροντα δυσωπῆσαι καὶ δεηθῆναι, ὡς ἂν παρακλη-
θείη, καὶ συγγνοίη τῷ Ἰωάννῃ τὸ ἔγκλημα.
ἀπῆλθον οὖν ἐκεῖνοι καὶ ἐδυσώπησαν. ὁ δέ, οὐκ
ἐνεδίδου ὡς ἀνδριάς, οὐ παρεχώρει τῷ μαθητῇ τῆς
εἰς τὴν κέλλαν εἰσόδου. καί τις τῶν μοναχῶν
ἐκείνων ἀποκηνάμενος, εἴρηκεν. ἐξὸν ἄλλως ἐν
ὅλην δοθῆναι τῷ ἁμαρτήσαντι, καὶ μὴ ἐκπεσεῖν
τῆς συναυλίας τῆς μετὰ σοῦ. καὶ ὁ δυσωπούμε-
νος, ἔφησε, ταύτην τῷ Ἰωάννῃ ἐντολὴν ὁρίζο-
μαι, εἴ γε βούλεται συγγνωμονηθῆναι αὐτῷ τὴν
παρακοήν, πᾶσαν διελθεῖν τὴν τῆς λαύρας πε-
ριοχήν, καὶ δι' ἑαυτοῦ ἐκκαθάραι τὰ ἐν ταῖς κέλ-
λαις τῶν μοναχῶν τῶν ῥυπασμάτων οἰκίδια.)
οἱ δέ, ἀκούσαντες, τῷ λόγῳ ἐγκαλυψάμενοι,
κατηφεῖς ἀπῄεσαν, τὸ τοῦ γέροντος ἀνένδοτον
ἐκπληττόμενοι. οὓς προσυπαντήσας ὁ Ἰωάννης,
καὶ τὴν συνήθη βαλὼν μετάνοιαν, ἤρετο περὶ
τῆς πατρικῆς αὐτῷ ἀποφάσεως. οἱ δέ, τὴν αὐ-
στηρίαν τοῦ γέροντος ἐκπλήττεσθαι ἀπεκρίναντο,
καὶ τὴν ἀπόφασιν δι' αἰδοῦς εἶχον ἐξειπεῖν. ὁ δέ,

καὶ λίαν αὐτὸν ἀνακαλύψεσθαι προσδυσωπῶν ἦν. πεισθεὶς οὖν τὴν ἀσχήμονα ἐκείνην ἀνακάθαρσιν λέγουσιν. ὁ δ' ἀκηκοὼς, ἢ αὖ μᾶλλον τὴν ἐλπίδα πᾶσαν αὐτοῦ. καὶ ἔφασι εἶναι μονότροπον φυσὶν, καὶ πρὸς ἡδονὴν μάλιστα. εὐθὺς οὖν ἄπεισι κατὰ τῆς καθάρσεως, ἐργαλεῖα ἐξητικὰς, καὶ λαβὼν, πρόσεισι τῇ κέλλῃ τοῦ ἐκεῖ γειτονοῦντος τῷ γέροντι. καὶ εἰσιὼν ἐν αὐτῇ, χεῖρας μολύνειν ἐκείνας ἤρξατο, ἃς τοῖς ἄλλοις πρότερον εὐωδίαζε τοῖς ἀρώμασι, καὶ τὴν χριστοθεράπευτον δεξιάν. ὢ τῆς πολλῆς τοῦ ἀνδρὸς ταπεινώσεως, κοπροπηλόφυρτον ἔθετο. Πυθόμενος δὲ ὁ γέρων τὴν εἰς τὴν ὑπακοὴν τοῦ Ἰωάννου προθυμίαν πολλὴν, καὶ τὸ τῆς ἀληθοῦς καὶ πολλῆς ἐκείνου ταπεινώσεως βάθος, μᾶλλον δὲ ὕψωμα, ἐπιδραμὼν, περιέβαλεν αὐτὸν, περιεπλέκετο τῷ τραχήλῳ, τὰς δὲ χεῖρας περιεπτύσσετο, τὰ ὄμματα κατησπάζετο, κατεφίλει τοὺς ὤμους. ὢ οἷον ἔλεγεν ἀθλητὴν τῆς μακαρίας ὑπακοῆς ἐγὼ ἀπέτεκον ἐν Χριστῷ. ὁ δὲ Ἰωάννης πλέον αἰδούμενος τοὺς λόγους τοῦ γέροντος, πρηνὴς ἔπιπτε, καὶ τὸ ἔδαφος τοῖς δάκρυσιν ἔβρεχεν, ὡς θεοῦ προσπίπτων ἐνώπιον. οὐ γὰρ ἐφυσιοῦτο τοῖς λόγοις τοῖς πατρικοῖς, οὐδ' ἐξογκοῦτο τοῖς ἐγκωμίοις τοῦ γέροντος, ἀλλ' ἐταπεινοῦτο πλέον, καὶ ὁ νοῦς αὐτοῦ μάλιστα συνετρίβετο. οὕτως οἶδε

τὸν συνετὸν τοῖς ἐπαίνοις ταπεινουμένους, καὶ συντριβομένους τοῖς ἐγκωμίοις, καὶ ἀνυψουμένους πρὸς τὸν θεόν. ἐπὶ τούτοις, ἀνίστησιν ὁ πατὴρ τὸν υἱὸν, καὶ λαβόμενος τῆς χειρὸς, εἰς τὸ κάλλιον αὐτοῦ μετὰ χαρᾶς εἴσεισιν. εἶπες ἂν τὸν Ἰωάννην ἰδὼν, ὡς εἰς τὸν ἐν Ἐδὲμ παράδεισον πάλιν ἀποκαθίσταται νῦν. ἐν ἑαυτῷ δὲ τὸν παλαιὸν Ἀδὰμ διὰ τῆς παρακοῆς τυπώσας πρότερον, τὸν νέον ἐτύπου χριστὸν καὶ αὖθις ἐν ἑαυτῷ διὰ τῆς ἄκρας ἐκείνης ὑπακοῆς. Μετ' οὐ πολὺ δὲ ὄναρ τῷ γέροντι ἐπιφαίνεται, ἡ πανύμνητος καὶ πανάμωμος, καὶ φησίν. ἵνα τί πηγὴν ἐνέφραξας, οὕτω μὲν ἡδὺ τὸ νάμα προχέειν ἔχουσαν, οὕτω διειδὲς, οὕτω δαψιλὲς καὶ νεκταρῶδες; ὕδωρ, ἀναπαύσεως τῶν ψυχῶν. ὕδωρ, ὑπὲρ τὸ ἐκ πέτρας ἐν ἐρήμῳ βλύσαν ξενοπρεπῶς. ὕδωρ, οὗ πεῖν Δαβὶδ ἐπεθύμησεν. ὕδωρ, ὃ τῇ σαμαρείτιδι χριστὸς ἐπηγγείλατο. ἔασον βρύεσθαι τὴν πηγὴν, δραμεῖται πολὺ, καὶ πᾶσαν διελεύσεται τὴν οἰκουμένην, ὡς ὕδωρ πολὺ, καὶ κατακλύψαι θαλάσσας αἱρέσεων, μεταβαλεῖ τε ταύτας, πρὸς θαυμασίαν γλυκύτητα. οἱ διψῶντες, ἐπὶ τὸ ὕδωρ μετὰ
Ἠσαΐ. νε. σπουδῆς πορευέσθωσαν. καὶ ὅσοι μὴ ἔχουσιν ἀργύριον βίου καθαροῦ, πωλήσαντες τὰς ἐμπαθείας αὐτῶν, ἐκ τοῦ Ἰωάννου ἀγορασάτωσαν πᾶσαν ἐν δόγμασι καὶ ἔργοις ἀκραιφνῆ καθαρότη-

τά. οὗτος εἰλήψει τὴν προφητικὴν κιθάραν, καὶ τὸ δαυϊτικὸν ἐκεῖνο ψαλτήριον, καὶ ᾄσει ᾄσματα καινά, ᾄσματα κυρίῳ τῷ θεῷ, ὑπερβαλεῖται τὴν Μωσέος ᾠδὴν τοῖς μελουργήμασι, καὶ τὴν χορωλίαν Μαρίας· μῦθος ἐλεγχθήσεται τὰ τοῦ Ὀρφέως ἀνόνητα μελῳδήματα. τὴν πνευματικὴν καὶ οὐράνιον μελουργίαν, οὗτος ᾄσεται. τοὺς χερουβικοὺς ὕμνους, οὗτος μιμήσεται, καὶ πάσας τὰς ἐκκλησίας τὰς θυγατέρας Ἱερουσαλήμ. αὐτὸς νεάνιδας τυμπανιστρίας ποιήσεται, ᾀδούσας ᾆσμα θεῷ, τὴν νέκρωσιν χριστοῦ ἀπαγγέλλον, καὶ τὴν ἀνάστασιν. οὗτος, ὀρθοτομήσει τὰ τῆς πίστεως δόγματα, καὶ στηλιτεύσει πάσης αἱρέσεως διαστροφὴν καὶ λοξότητα. καὶ ἡ καρδία αὐτοῦ, ἐρεύξεται λόγους ἀγαθούς, καὶ ἐρεῖ τὰ τοῦ βασιλέως ἔργα τὰ ὑπερθαύμαστα. περὶ δὲ τὴν ἔω, εἰσκαλεῖται τὸν Ἰωάννην ὁ μυηθεὶς τὰ ἀπόρρητα, καὶ φησίν· ὦ τέκνον τῆς ὑπακοῆς τοῦ χριστοῦ, ἄνοιξόν σου τὸ στόμα, ἵν᾽ ἑλκύσῃς τὸ πνεῦμα. μᾶλλον δὲ ὃ περιείληφας ἐν τῇ καρδίᾳ σου, ἐξερεύγου διὰ τοῦ στόματος. τὸ στόμα σου γὰρ λαλήσει σοφίαν, ὅτι μελέτην ἔχεις ἐν τῇ καρδίᾳ τῆς συνέσεως πολλήν. ἄνοιξόν σου τὸ στόμα, οὐκ ἐν παραβολαῖς, ἀλλ᾽ ἐν ἀληθείαις. οὐκ ἐν αἰνίγμασιν, ἀλλ᾽ ἐν δόγμασιν. λάλησον εἴσω τῆς ὁρώσης Ἱερουσαλὴμ θεόν, τῆς εἰρηνικῆς ἐκκλησίας αὐτοῦ, οὐ λόγους εἰκῇ καὶ εἰς ἀέρα ῥέοντας, ἀλλ᾽ οὓς ἔγραφε τὸ πνεῦ

μάκ ἐν τῇ καρδίᾳ σου. ἀνῆλθον εἰς τὸ ὄρος τὸ σι-
ναῖον τῶν ὀπτασιῶν θεοῦ καὶ ἀποκαλύψεων,
κἂν ἐταπείνωσας ἑαυτὸν ἕως τῶν ἀβύσσων τῆς
πολλῆς ταπεινώσεως, νῦν ἄνελθε εἰς τὸ τῆς ἐκ
κλησίας ὄρος, καὶ κήρυξον εὐαγγελιζόμενος τῇ
Ἱερουσαλήμ. ἐν ἰσχύϊ ὕψωσον τὴν φωνὴν, διδα-
ξάσμενα γάρ μοι ἐλαλήθη περὶ σοῦ παρὰ τῆς θεο-
μήτορος. σύγγνωθί μοι δὲ καὶ ὅσα σοι γέγονα ἐμ-
ποδών, ἐξ ἀγροικίας μου τοῦτο κατεπραττόμε-
νος. ἐξ αὐτῆς γὰρ ὁ Ἰωάννης τῶν θείων μελισμά-
των ἀρχὴν ποιησάμενος, ἦσε τὰ μελίρρυτα ἄσ-
ματα, ἃ δὴ τὴν ἐκκλησίαν ἐφαιδρύνουσι, καὶ τό που
σκηνῆς τοῦ θεοῦ ἐποίησαν, ἔνθα ἦχος καθαρὸς
τῶν ἑορταζόντων ἀκούεται. οὐ ταῦτα μόνον,
ἀλλὰ καὶ τοὺς εἰς φαιδρὰς πανηγύρεις λόγους ἐξέ-
θετο, καὶ τὴν ἱερὰν βίβλον καὶ θεοχάρακτον
πλάκα, ἵν' οὕτως εἴπω, διεχαράξατο, πᾶσι σο-
φοῖς τε καὶ ἰδιώταις οὐ μετρίαν παράκλησιν καὶ
θύραν εἰσαγωγῆς εἰς τὰ περὶ θεολογίας μυστή-
ρια καὶ τῶν ἄλλων δογμάτων τῆς ἀληθοῦς πίστεως,
καὶ τῆς τῶν ὄντων νοητῶν καὶ αἰσθητῶν συντομωτέ-
ρας καὶ θεωρίας καὶ γνώσεως, ἣν ἐπὶ οὐρανὸν ἐ-
κάλεσα, ὡς ἄστρασι ταῖς ὀρθαῖς ἀποδείξεσι καὶ
φυσικαῖς τε καὶ γραφικαῖς καὶ λίαν ἐπιστημονι-
καῖς διαλάμποντα. ὁ γοῦν πρὸς τοῦτον ἀνακα-
βλεπόμενος τὸν οὐρανὸν, καὶ τὸ ἐν αὐτῷ κάλλος
μὴ καταφρονῶν, μηδὲ τοῦ ἐξ αὐτοῦ φωτὸς ἀπο-

λαύων, ἢ τυφλός ἐστι ἢ ἐσκότισται. καὶ ἄθλιον εἴποιμι τὸν μυωπάζοντα πρὸς τὴν λάμψιν αὐτοῦ τὴν ἔνθεον. ἔτι δὲ καὶ μακροὺς συνῆρε λόγους ὁ Ἰωάννης, καὶ αὖθις περὶ τῆς τῶν θείων καὶ σεπτῶν εἰκόνων περιφανοῦς προσκυνήσεως. καὶ ὅσον τὸ ἐν αὐτῷ τῆς θείας εἰκόνος κάλλος τὸ ἐξ ἀρχῆς ἀνεμορφώσατο κάλλιον, τοσοῦτον καὶ τὰ περὶ τῆς τῶν σεβασμίων εἰκόνων τιμῆς ἀνετάξατο ὑψηλότερον καὶ φαιδρότερον. εἶχε δὲ πρὸς τοὺς τοιούτους πόνους ἀδελφικῶς ὑπαλείφοντα, ὃν ἐν πνεύματι θείῳ ἔσχηκεν ἀδελφὸν, Κοσμᾶν τὸν κόσμιον, τὸν καὶ κοινωνήσαντα τούτῳ καὶ λόγων, καὶ ἀναγωγῆς, καὶ ἀσκήσεως. ὃς δὴ καὶ οὗτος τοῖς ἐν ᾄσμασι πνευματικοῖς πόνοις, τὸν Ἰωάννην ἐμιμήσατο συνετῶς, καὶ ὑπῆσε λιγυρὰς τῇ ἐκκλησίᾳ ἁρμονίας ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, τὸ οἰκεῖον σῶμα, τύμπανον παραστησάμενος τῷ θεῷ διὰ τὴν τῶν παθῶν νέκρωσιν, καὶ ψαλτήριον ἄλλο δεκάχορδον καταστήσας ὅλον ἑαυτὸν, τὴν πενταπλῆν τοῦ σώματος αἴσθησιν, καὶ τὰς ἰσαρίθμους δυνάμεις τῆς ψυχῆς, ἐντέχνως καὶ σοφῶς ἐντεινάμενος. ἀλλ' ὁ μὲν Κοσμᾶς, ἐπίσκοπος τῆς Μαϊουμᾶ ὑπὸ τοῦ τῶν Ἱεροσολύμων πατριαρχεύοντος οὐχ ἑκουσίως χειροτονεῖται, τῇ βίᾳ δὲ ὑπενδοὺς, καὶ καλῶς ποιμάνας τὸ ποίμνιον καὶ ὡς φίλον θεῷ, εἶτα καὶ ταφεὶς ἐν γήρᾳ καλῷ, πρὸς τοὺς πατέρας αὐτοῦ ἀπελήλυθε,

μᾶλλον δὲ, πρὸς θεὸν ἐξεδήμησε. τὸν Ἰωάννην δὲ ὁ τοὺς τῆς Ἱεροσολύμων ἰθύνων οἴακας, ἐκ θεοπνευστίας μεταστειλάμενος, ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν τὸν κύριον ταύτην χειροτονεῖ. ὁ δὲ πρὸς τὴν τοῦ θεοφόρου Σάβα λαύραν αὖθις ἐπανιὼν, καὶ τὴν οἰκείαν ὡς εἰπεῖν νοσσιὰν ὑπεισιὼν ὁ ὑψιπέτης ἀετὸς, οὐκ εἰς νοῦν ἔθετο τὸ τοῦ Σολομῶντος ἐκεῖνο παράγγελμα, τὸ τοὺς πρεσβυτέρους διπλῆς ἀξιοῦσθαι τιμῆς, ἀλλ' οἷον μεταμειψάμενος τὸ ῥητὸν, καθ' ἑαυτὸν ἔστρεφε λέγων, τὸ τοὺς πρεσβυτέρους διπλῆς ἐπιμελεῖσθαι τῆς ταπεινώσεως. τὸ τοὺς πρεσβυτέρους, διπλῆν ἐπιποιεῖσθαι τὴν ἄσκησιν, ὑπὲρ τὴν πρίν. τὸ τοὺς πρεσβυτέρους, διπλοῦς τοὺς ἀγῶνας ἐνδείκνυσθαι, οὐ πρὸς τὰ πάθη τοῦ σώματος μόνον, ἀλλὰ καὶ πρὸς τὰ τῆς ψυχῆς, καὶ τὰ κρύφια, ἃ διαλανθάνει τοὺς ἀσκουμένους πολλάκις εἰ μὴ σφόδρα νήφοιεν. καὶ ὁ ἐν τοῖς αὐτοῖς μαίνεται ἄνθρωπος, καὶ οὐκ ἐπαισθάνονται. τὰ δὲ ἐστὶ, δόλος. φθόνος. οἴησις. ἀλαζονεία λανθάνουσα. κενοδοξία ἐν ταπεινώσεως σχήματι. πολυπραγμοσύνη ἀλλότριος. ὑφ' ἣν, πολλὰ τὰ ἐκ τῆς γλώττης ἀνάγεται κακά. μετεωρισμός. ῥεμβασμός. ὕπουλον ἦθος. τύφος ἐπὶ ταπεινώσει τοῦ σώματος. μεθ' ἡδυπαθείας ἐγκράτεια. ἀντιποίησις τοῦ οἰκείου θελήματος. ἡ ἐν τοῖς οὐδαμινοῖς τῶν χρημάτων προσπάθεια. ἡ παρὰ τοὺς κειμένους

ὅρους ἁμαρτίας, ἐξ ὧν τὸ πρὸς τοὺς ἀδελφοὺς ἀ-
νόμοιον, καὶ τὸ λεληθὸς τῆς ὑπερηφανίας διέ-
λεγε. ταῦτα ὁ Ἰωάννης εἰξόθεν ἀποδιδοὺς ἐκ
πύλαις τῆς οἰκείας ψυχῆς, τοῖς πόνοις πόνους
προσετίθει, καὶ μᾶλλον ψυχικούς. καὶ τὸν νοῦν συ-
στείλας πανταχόθεν τέλεον, ἃ πεπόνηκε πρό-
τερον ἐπισυναγηοχὼς, ἐποιεῖτο τούτων ἐπίσκε-
ψιν. ἐπικοσμῶν. ἐπικαλλύνων: ἐπιδιορθούμε-
νος, πρὸς ἀκρίβειαν. καὶ λέξιν. καὶ νοῦν. καὶ ῥυθ-
μόν. καὶ συνθήκην. καὶ ὅπου τὸ κάλλος ἀνθηρὸν
ἄγαν, καὶ οἷον ἄμετρον, ἐπισμικρύνων διὰ τοῦ σώ-
φρονος, ἵνα γένοιντο αὐτῷ οἱ λόγοι, μηδὲν ἐπιδεικ-
τικὸν καὶ φαῦλον ἐπισυρόμενοι. ὃς οὖν ἐπιστημόνως
αὐτοῦ ἐγκύψει τοῖς τοιούτοις πονήμασιν, ὄψεται
τῶν θεωρημάτων τὸ ὕψος, καὶ τὸ κάλλος τοῦ λόγου
μετὰ σεμνότητος. τὸν δὲ ὑπὲρ τῆς εὐσεβείας
ζῆλον τούτου, ὃς ἐκ τῶν λόγων αὐτοῦ μὴ ἐκθειάση-
ται; τόν τε τῆς σοφίας πλοῦτον, πῶς τοῖς πᾶσι
διέσπειρεν; ἐξ οὗ τὸ τῆς γνώσεως ὃ εἰλήφει τά-
λαντον, οὐκ εἰς διπλοῦν ἐπολλαπλασίασεν,
ἀλλ' εἰς δεκαπλάσιον. φείδομαι γὰρ ἐπαυξῆσαι
τὸν ἀριθμὸν, ἵνα μὴ δόξαιμι τοὺς εὐαγγελικοὺς
ὅρους ὑπερβάλλεσθαι; οὐ γὰρ καλὸν ἁπλῶς
τὸ ὑπέρογκα φθέγγεσθαι. ἐκεῖνον δὲ, καὶ εἰς
ὅσον πέπεικεν ὁ ζῆλος ὁ ἔνθεος; ὡς ὑπὲρ τῶν
θείους νόμους ἀγωνισάμενον; ἐκ Δαμασκοῦ μὲν τὸ
πρότερον, ἐκ δὲ παλαιστίνης τὸ δεύτερον, σα-

λεῖν τὸν ἐν κωνσταντινουπόλει τὴν σεπτὴν εἰκόνων καθαιρέτας καὶ ὑβριστάς. ἐνθένδε τὸ τῆς μεγαλοπόλεως θρέμμα, ὁ τῷ πρωτομάρτυρι ὁμωνυμῶν, καὶ λίθοις, ὡς ἐκεῖνος ὑπὲρ χριστοῦ, οὕτως ὑπὲρ τῆς εἰκόνος ἐκείνου εἰς οὐρανοὺς ἀναδραμών, μέμνηται τὴν τοῦ Ιωάννου λέξιν; καὶ τὸ πόρρωθεν κατὰ τῶν δυσσεβῶν ζῆλον θεῖον καὶ θεοφόρον τὸν ἄνδρα καλῶν, κἂν μὴ κεχρισμένος ἦν ἀρχιερωσύνης τῷ χρίσματι, οὐ χρὴ οὖν ἀρνήσασθαι τὴν ἀλήθειαν· καὶ μαρτυρίας ταινία ὄψει τὸν ἄνδρα τὴν κεφαλὴν ἐστεμμένον, διὰ γὰρ τὸν τῆς δυσσεβείας ζῆλον, ἡ συκοφαντία τῶν δυσσεβεῖ, δι' ἣν ἡ τῆς χειρὸς ἐκτομή. οὔπω βίους, καὶ οὔπω τὸν δρόμον τετελεκὼς τῆς ἀσκήσεως, καὶ τὴν πίστιν τετηρηκώς, μᾶλλον δὲ καὶ πλατύνας λόγοις, καὶ καλλύνας τοῖς δόγμασιν, καὶ ἐς δεῦρο τοῦ χρόνου οἷς ἐπόνησε βεβαιῶν, συνέχων, συντηρῶν, πρὸς χριστὸν ἀνέδραμεν ὃν ἠγάπησε. καὶ νῦν οὐκ ἐν εἰκόνι [illegible] ὁρᾷ, οὐκ ἐν ἐκτυπώματι προσκυνεῖ; ἀλλ' αὐτὸν ὀπτάνεται κατὰ πρόσωπον ἀνακεκαλυμμένῳ προσώπῳ, βλέπων τὴν δόξαν τῆς μακαρίας τριάδος. ἐπὶ τούτοις ἔδει τὸν ἀθλητὴν, τὸν ἀσκητὴν, τὸν τῆς ἐκκλησίας κοσμήτορα, τὸν τῆς ἀληθείας σημαίνορα, τὸν ἀθλητικὸν, τὸν ἀσκητικόν, τὸν δογματικόν, τὸν συνετιστὴν τῶν ἀσυνέτων, τὸν δογματιστὴν τῶν ἀμυήτων, λό-

γοις ἐγκωμιασθῆναι τοῖς κατὰ δύναμιν παρ' ἡμῶν, οὐχ' ἵνα δόξης τι οἱονοῦν ἐκείνῳ προξενοποιησώμεθα, ἀλλ' ἵν' ἐκεῖνος ἡμῶν ἐν οὐρανοῖς ἀντιμνημονεύσῃ, καὶ τῆς ἐκείνου δόξης ἐμπλησθῶμεν τῆς οὐρανίου, ἔτι ἐνδημοῦντες τῇ γῇ. ἐκείνης λέγω τῆς δόξης, ἣν Δαβὶδ ἐπιμαρτυρεῖ τῇ τοῦ βασιλέως θυγατρὶ, καὶ ψυχῇ βασιλικῇ ἔσωθεν ἐναξάνεσθαι, πᾶσα λέγων, δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. ψαλ. μδ. Συγγνωθῆμοι τρισμάκαρ, καὶ ἱκέτης γένοιό μοι τὰ πρὸς θεὸν, θερμότατος καὶ αἰδεσιμώτατος, ἐφ' οἷς ἔδειξεν τὸν καλὸν δρόμον, ἄλλα πεποιηκότος, ὡς εἶχεν ὁ ἄνθρωπος, ἀφελῶς, αὐτοὺς εὐρηκὼς καὶ διαλέκτῳ ἀγράφων καὶ γράμμασι κείμενον, ὁ ὁμώνυμός σου, ἐκ πόθου εἰς ἔσχατον λόγου καὶ ἐπιμελείας τῆς κατὰ δύναμιν διὰ σοῦ μετέβαλον ἐπισκέψεων, ἢ αὖ οὕτω δὴ, καὶ ἐπισκήψεων, καὶ τῆς τριάδος ποίησον κἀμὲ προσκυνητὴν, ἄϋλον, νοερὸν, ὅλον τοῦ σώματος ἐξιστάμενον, ὅλον ἔνδημον ταῖς θεωρίαις, ὅλον ἱδρωμένον τῇ ὁλοκαυτώσει τοῦ θείου δρῶτος, ἔτι ἐνδημοῦντα τῷ σώματι, ἵνα μετὰ ἀπαθείας ἐκδημήσας τῆς σαρκὸς, μετὰ παρρησίας σὺν σοὶ τῷ θεῷ παραστήσωμαι. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν. Τέλος.

α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο
π ρ σ. Ἅπαντα εἰσι τετράδια.